







ΙΣΤΟΡΙΚΗ ΔΙΔΑΣΚΑΛΙΑ

ΠΕΡΙ

ΤΩΝ ΠΑΤΕΡΩΝ ΤΗΣ ΕΚΚΛΗΣΙΑΣ

ΣΥΓΓΡΑΦΕΙΣΑ ΜΕΝ ΡΩΣΣΙΣΤΙ

ΥΠΟ ΤΟΥ ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ ΤΣΕΡΝΙΓΟΒΟΥ

ΦΙΛΑΡΕΤΟΥ

Ἐξελληνισθεῖσα δὲ

ὑπὸ

ΝΕΟΦΥΤΟΥ ΠΑΓΙΔΑ ΑΡΧΙΜΑΝΔΡΙΤΟΥ

Ἐκδίδοται κελεύσει

ΤΟΥ ΜΑΚΑΡΙΩΤΑΤΟΥ ΚΑΙ ΑΓΙΩΤΑΤΟΥ ΠΑΤΡΙΑΡΧΟΥ

ΤΩΝ ΙΕΡΟΣΟΛΥΜΩΝ

ΚΥΡΙΟΥ ΚΥΡΙΟΥ

ΝΙΚΟΔΗΜΟΥ ΤΟΥ Α΄.


ΤΟΜΟΣ ΠΡΩΤΟΣ.



ΕΝ ΙΕΡΟΣΟΛΥΜΟΙΣ

ΕΚ ΤΟΥ ΠΑΤΡΙΑΡΧΙΚΟΥ ΤΥΠΟΓΡΑΦΕΙΟΥ ΤΟΥ Π. ΤΑΦΟΥ.


1885.





Πρᾶξις Τυπογραφείου Ἀριθ. 117·

Τῇ βιβλιοθήκῃ
ἁγίου [illegible] κ. Γερβασίου



ΤΩι

ΜΑΚΑΡΙΩΤΑΤΩι ΘΕΙΟΤΑΤΩι ΤΕ ΚΑΙ

ΑΓΙΩΤΑΤΩι ΠΑΤΡΙΑΡΧΗι

ΤΗΣ ΑΓΙΑΣ ΠΟΛΕΩΣ ΙΕΡΟΥΣΑΛΗΜ ΚΑΙ ΠΑΣΗΣ

ΠΑΛΑΙΣΤΙΝΗΣ

ΚΥΡΙΩ ΚΥΡΙΩ

ΝΙΚΟΔΗΜΩι ΤΩι Α'.

ΕΙΣ ΤΕΚΜΗΡΙΟΝ ΤΙΜΗΣ ΑΠΑΣΗΣ ΚΑΙ

ΣΕΒΑΣΜΟΥ ΒΑΘΥΤΑΤΟΥ ΕΥΓΝΩΜΟΝΩΣ ΑΝΕΘΗΚΕΝ

Ο ΜΕΘΕΡΜΗΝΕΥΣΑΣ.



ΙΣΤΟΡΙΚΗ ΔΙΔΑΣΚΑΛΙΑ.

ΤΟΜΟΣ ΠΡΩΤΟΣ.



ΠΡΟΛΕΓΟΜΕΝΑ

τοῦ Μεταφραστοῦ.

Πασίγνωστόν ἐστιν, ὅτι μετὰ τὰ Θεόπνευστα τῆς τε Παλαιᾶς καὶ Καινῆς Διαθήκης βιβλία, ἅπερ εἰσὶν ἡ πρώτη καὶ κυρία τῆς Θεολογίας πηγή, ἡ ἱερὰ Παράδοσις ὡς οὐδὲν ἧττον οὐσιῶδες καὶ ἀπαραίτητον τῆς ἐπιστήμης ταύτης στοιχεῖον παρέπεται. Τοῦτο διαδηλοῦσιν αὐτοὶ οἱ ἱεροὶ συγγραφεῖς, λέγοντες· «πολλὰ μὲν οὖν καὶ ἄλλα σημεῖα ἐποίησεν ὁ Ἰησοῦς ἐνώπιον τῶν μαθητῶν Αὐτοῦ, ἃ οὐκ ἔστι γεγραμμένα ἐν τῷ βιβλίῳ τούτῳ» (Ἰωάν. κ'. 30)· «ἔστι δὲ καὶ ἄλλα πολλά, ὅσα ἐποίησεν ὁ Ἰησοῦς, ἅτινα ἐὰν γράφηται καθ' ἕν, οὐδὲ αὐτὸν οἶμαι τὸν κόσμον χωρῆσαι τὰ γραφόμενα βιβλία» (αὐτόθ. κά. 25). Ἐπειδὴ τοίνυν οἱ ἱεροὶ Εὐαγγελισταὶ πλεῖστα ὅσα ὑπὸ τοῦ Κυρίου τελεσθέντα ἡμῖν οὐ μετέδοσαν, ῥᾳδίως πᾶς τις ἐννοεῖ, ὅτι οὐδ' ἀπαξάπαντας τοὺ ἐκ τοῦ Παναγίου Αὐτοῦ στόματος ἐξενεχθέντας λόγους, ἢ ἀπαξάπασαν τὴν λεπτομέρειαν τῆς Θείας Αὐτοῦ διδασκαλίας ἀνέγραψαν, καίπερ οὐδεμιᾶς πάντως λέξεως μάτην ἢ ἄνευ σπουδαίου σκοποῦ ἐν τῇ ἁγίᾳ ταύτῃ διδασκαλίᾳ ἐξενεχθείσης. Ἀλλ' οὐδ' ἀγνοεῖ τις, ὅτι καὶ τῶν ἐν τῇ ἁγίᾳ Γραφῇ περιεχομένων τινὰ οὐχὶ πᾶσιν οὐδ' ἀείποτε εὔληπτα πρόκεινται. Οὕτω π. χ. ὁ ἐν ταῖς Πράξεσι τῶν Ἀποστόλων μνημο-

νευόμενος εὐνοῦχος οὐκ ἠδύνατο νοῆσαι τὸ ὑπ' αὐτοῦ ἀναγινωσκόμενον χωρίον τοῦ Προφήτου Ἡσαΐου, τοῦ δὲ Φιλίππου αὐτὸν ἐρωτήσαντος, «ἆρά γε γινώσκεις ἃ ἀναγινώσκεις;» ἀπεκρίνατο, «πῶς γὰρ ἂν δυναίμην, ἐὰν μή τις ὁδηγήσῃ με;» (Πράξ. ή. 30. 31). Ὡσαύτως ὁ Ἀπόστολος Πέτρος εὕρισκεν ἐν ταῖς τοῦ Παύλου ἐπιστολαῖς «δυσνόητά τινα» (Β'. Πέτρ. γ'. 16). Ἐντεῦθεν αὐτοὶ οἱ Θεόπνευστοι συγγραφεῖς ἐνετέλλοντο τοῖς πιστοῖς τηρεῖν πρὸς τῇ ἁγίᾳ Γραφῇ καὶ τὴν διὰ στόματος μεταδοθεῖσαν παράδοσιν. «Ἄρα οὖν, ἀδελφοί, στήκετε καὶ κρατεῖτε τὰς παραδόσεις, ἃς ἐδιδάχθητε εἴτε διὰ λόγου, εἴτε δι' ἐπιστολῆς ἡμῶν» (Β'. Θεσσαλον. 6. 15). «Ὦ Τιμόθεε, τὴν παρακαταθήκην φύλαξον» (Α'. Τιμ. ς'. 20). «Ὑποτύπωσιν ἔχε ὑγιαινόντων λόγων, ὧν παρ' ἐμοῦ ἤκουσας, ἐν πίστει καὶ ἀγάπῃ τῇ ἐν Χριστῷ Ἰησοῦ» (Β'. Τιμ. ά. 13). «Καὶ ἃ ἤκουσας παρ' ἐμοῦ διὰ πολλῶν μαρτύρων, ταῦτα παράθου πιστοῖς ἀνθρώποις, οἵτινες ἱκανοὶ ἔσονται καὶ ἑτέρους διδάξαι» (Αὐτόθ. β'. Πρβ. καὶ Α'. Κορίνθ. ιά. 2). Εἰ τοίνυν ὁ πλείω πάντων τῶν ἄλλων Ἀποστόλων γράψας Παῦλος τηλικαύτης ἠξίου τὴν ἱερὰν Παράδοσιν σπουδαιότητος, ἆρά γε ἠδύναντο ἄλλως διδάσκειν οἱ ἄλλοι Ἀπόστολοι, ἰδίᾳ ἐκεῖνοι ἐξ αὐτῶν, οἵτινες οὐ κατέλιπον μὲν συγγράμματα, ἀλλ' ἐκκλησίας ἀνὰ τὴν οἰκουμένην διὰ μόνου τοῦ ἐκ στόματος κηρύγματος ἵδρυσαν; Γνωστὸν δ' ὁπόσον καὶ οἱ Ποιμένες καὶ διδάσκαλοι τῆς Ἐκκλησίας εἴχοντο

ἀείποτε τῆς ἱερᾶς Παραδόσεως. Ὁ ἅγιος Ἰγνάτιος ὁ Θεοφόρος «τὰς κατὰ πόλιν αἷς ἐπεδήμει παροικίας ταῖς διὰ λόγων ὁμιλίαις τε καὶ προτροπαῖς ἐπιρρωνύς, ἐν πρώτοις μάλιστα προφυλάττεσθαι τὰς αἱρέσεις ἄρτι τότε πρῶτον ἐπιπολαζούσας παρῄνει, προὔτρεπέ τε ἀπρὶξ ἔχεσθαι τῆς τῶν Ἀποστόλων παραδόσεως, ἣν ὑπὲρ ἀσφαλείας καὶ ἐγγράφως ἤδη μαρτυρόμενος διατυποῦσθαι ἀναγκαῖον ἡγεῖτο» (Εὐσεβ. Ἐκκλ. ἱστορ γ'. 36). Ὁ ἅγιος Εἰρηναῖος διδάσκει. «...Τὰ δὲ τῆς Ἐκκλησίας μετὰ πλείστης σπουδῆς ἀσπάζεσθαι καὶ καταλαβεῖν τῆς Ἐκκλησίας τὴν παράδοσιν. Τί γάρ; καὶ εἴ τισι περὶ μετρίου τινὸς ζητήματος εἴη ἡ ἀμφισβήτησις, οὐκ ἆρ' ἔδει πρὸς τὰς ἀρχαιοτάτας ἀποδραμεῖν Ἐκκλησίας, ἐν αἷς οἱ Ἀπόστολοι ἀνεστράφησαν καὶ παρ' αὐτῶν περὶ τῆς προκειμένης ζητήσεως λαβεῖν τὸ ἀσφαλὲς καὶ τῷ ὄντι ἐναργές; Τί δέ; εἰ μηδὲ οἱ Ἀπόστολοι γραφὰς κατέλιπον ἡμῖν, οὔκουν ἔδει τῇ τάξει ἀκολουθεῖν τῆς παραδόσεως, ἣν παρέδοσαν οἷς ἐπέτρεπον τὰς Ἐκκλησίας;» (Ἔλεγχ. καὶ ἀνατρ. τῆς ψευδων. γνώσεως, βιβλ. γ'. 4). Ὁ οὐρανοφάντωρ Βασίλειος λέγει: «τῶν ἐν τῇ Ἐκκλησίᾳ πεφυλαγμένων δογμάτων καὶ κηρυγμάτων· τὰ μὲν ἐκ τῆς ἐγγράφου διδασκαλίας ἔχομεν, τὰ δὲ ἐκ τῆς τῶν Ἀποστόλων παραδόσεως διαδοθέντα ἡμῖν ἐν μυστηρίῳ παρεδεξάμεθα· ἅπερ ἀμφότερα τὴν αὐτὴν ἰσχὺν ἔχει πρὸς τὴν εὐσέβειαν» (περὶ τοῦ ἁγ. Πνεύμ. κζ'.). Ὁ δὲ ἅγιος Ἰωάννης ὁ Χρυσόστομος διδάσκει: «οὐ πάν-

τα δι' ἐπιστολῆς παρεδίδοσαν (οἱ Ἀπόστολοι), ἀλλὰ πολλὰ καὶ ἀγράφως· ὁμοίως δὲ κἀκεῖνα καὶ ταῦτά ἐστιν ἀξιόπιστα» (Ὁμιλ. δ'. εἰς τὴν Β'. πρὸς Θεσσαλον. §. 15).

Ἐντεῦθεν ὀρθὴ ἡ γνώμη τῶν Θεολόγων, ὅτι ἄνευ τῆς ἱερᾶς παραδόσεως ἀδύνατον ἂν ἦν καὶ τὸν ἱερὸν ὁρίσαι κανόνα, διότι οὐδαμοῦ τῆς ἁγίας Γραφῆς λέγεται τίνα τῶν βιβλίων παραδεκτέα ὡς κανονικὰ καὶ τίνα ὡς μή. Ἄνευ τῆς ἱερᾶς Παραδόσεως πολλοὶ οὐκ ἂν εἰς τὸ δέον εἶχον τὴν ἁγίαν σέβεσθαι Γραφήν, καθάπερ καὶ ὁ Μακάριος Αὐγουστῖνος μαρτυρεῖ, λέγων περὶ ἑαυτοῦ: «οὐδ' ἂν αὐτῷ τῷ Εὐαγγελίῳ ἐπίστευον, εἰμὴ με πρὸς τοῦτο τὸ τῆς καθολικῆς Ἐκκλησίας (ἤτοι τὸ τῆς ἐκκλησιαστικῆς Παραδόσεως) κῦρος ἦγε» (De civ. Dei XV 23). Ἄνευ αὐτῆς πολλοὶ ἡρμήνευον ἂν αὐθαιρέτως τὴν ἁγ. Γραφήν, καὶ ὁδὸς ἂν οὕτως εἰς ἀτελευτήτους διαφωνίας ἀνέῳκτο, ὡς τοῦτο συνέβη τοῖς Ἀρειανοῖς καὶ τοῖς Διαμαρτυρηταῖς. Ἄνευ τῆς Παραδόσεως ἡ πίστις ἡμῶν οὐκ ἂν εἶχε τὴν τῆς ἀληθείας αὐτῆς ἰσχυροτάτην ἀπόδειξιν, τὴν ἐκ τῆς ὁμοφώνου ὁμολογίας τῶν διαφόρων λαῶν καὶ τῶν διαφόρων αἰώνων ἀπορρέουσαν. Οἱανδήποτε ἄρα δοκούσης τινὸς ἐνδείας δυσχέρειαν δύναται ὑπερνικᾶν ἡ Θεολογία διὰ τῆς ἱερᾶς Παραδόσεως, ἐν ᾗ, φυλαττομένῃ ἐν τῇ τοῦ Κυρίου Ἐκκλησίᾳ δι' ἀρρήκτου καὶ ἀμεταπτώτου διαδοχῆς, ἀκριβέστατα πᾶν τὸ εἰς τὴν θρησκείαν ἀναφερόμενον ὥρισται. Μάρτυρες δὲ ἄριστοι καὶ ἀκριβέστατοι καὶ ἀξιοπιστό-

τατοι οἱ ἅγιοι Πατέρες τῆς Ἐκκλησίας· Οὔτε γὰρ ἐν ταῖς τῶν Συνόδων διαγνώμαις, οὔτε ἐν τῇ τῆς Ἐκκλησίας Θεσμοθεσίᾳ σαφῶς οὕτω καὶ τελείως καὶ λεπτομερῶς ἡ ἱερὰ ἀνεπτύχθη Παράδοσις, ὅσον ἐν τοῖς τῶν ἁγίων τῆς Ἐκκλησίας Πατέρων συγγράμμασι. Βεβαίως καὶ ἐν τοῖς τῶν Συνόδων καὶ καθόλου τῆς Ἐκκλησίας κηρύγμασίν ἐστιν εὑρεῖν διδασκαλίας περί τε ἑκάστου δόγματος καὶ περὶ προφυλάξεως ἀφ᾽ οἱασδήποτε πλάνης, ἀλλ᾽ ὅμως παρὰ μόνοις τοῖς ἁγίοις τῆς Ἐκκλησίας Πατράσι δυνάμεθα εὑρίσκειν ἀκριβεστάτην καὶ λεπτομερεστάτην τῶν τε δογμάτων καὶ τῶν βαθέων αὐτῶν θεμελίων ἀνάπτυξιν. Παρ᾽ αὐτοῖς μόνοις εὑρήσει ὁ νέος τῆς χριστιανικῆς ἀληθείας ὑπέρμαχος τὰ ἀσφαλέστατα καὶ δεδοκιμασμένα καὶ οὐδέποτε ἀπογηράσκοντα οὐδὲ εὐρωτιῶντα ὅπλα πρὸς καταπολέμησιν πάσης αἱρέσεως ἢ ἐνστάσεως τῶν θρασυστομούντων ἔσθ᾽ ὅτε κατὰ τῆς ἱερᾶς πίστεως. Μόνον ἐνταῦθα κατανοήσει ὁ μακάριος τῆς Ἐκκλησίας υἱὸς τὴν καθολικὴν τῆς ἐκκλησιαστικῆς ὁμολογίας ἀξίαν, ἐν τῇ ἀδιακόπῳ τουτ᾽ ἔστι τῶν μαρτυριῶν ἁλύσει, ἧς τοὺς μὲν πρώτους κρίκους ἀποτελεῖ ὁ τῶν Ἀποστόλων αἰών, τοὺς δὲ τελευταίους ὁ ἐνεστὼς χρόνος.

Ὑπὲρ τῆς ἀξιοπιστίας δὲ καὶ τοῦ κύρους τῶν τῆς ἱερᾶς Παραδόσεως μαρτυριῶν ὑπάρχει ἀσφαλεστάτη ἐγγύησις οὐ μόνον αὐτὴ ἡ τῶν ἁγίων τῆς Ἐκκλησίας Πατέρων κλῆσις, οὐ μόνον ἡ ἰδία αὐτῶν προσέγγισις εἰς τὸ ταύτης ἁγιαστήριον, οὐ μόνον

ἡ διὰ μεγίστων πόνων τε καὶ ἀγώνων καὶ ἐθελουσίων θυσιῶν διατρανωθεῖσα καὶ διαπιστωθεῖσα εὐσέβεια αὐτῶν, ἀλλὰ καὶ αὐτὸς τέλος ὁ Κύριος, ὁ θαυμαστοῖς σημείοις δοξάσας αὐτοὺς καὶ ζῶντας καὶ μετὰ θάνατον.

Βουλόμενοι οἱ Θεολόγοι ὑπερμαχῆσαί τινος τῶν δογμάτων, ἢ ἑρμηνεῦσαί τι αὐτῶν, ἀνέκαθεν προσέφευγον εἰς τὰ τῶν Πατέρων τῆς Ἐκκλησίας συγγράμματα —Ἐπὶ τῶν Σχολαστικῶν ὁ Θεολόγος ἐλάμβανε πάνυ ἁπλῶς χωρίον τι μόνον ἐκ τῶν συγγραμμάτων τῶν ἁγίων Πατέρων, καὶ τοῦτο ἀνέπτυσσεν ὅσον ἠδύνατο συστηματικώτερον. Κατόπιν, ὅτετοῦτ᾽ἔστι ἐγένετο καταφανές, ὅτι τὰ μερικὰ καὶ κεχωρισμένα χωρία ἥκιστα ἐξαρκοῦσιν, ὅπως τις κρίνῃ ἐξ αὐτῶν περὶ ὅλης Πατρός τινος τῆς Ἐκκλησίας διδασκαλίας, καὶ πολλῷ ἔτι ἧττον ὅπως συμπεράνῃ τὰ καθολικὰ τῆς Παραδόσεως φθέγματα, ἤρξαντο κατ᾽ἀνάγκην διερευνᾶν καὶ διατάττειν πάσας τὰς σημαντικὰς ῥήσεις ἑκάστου τῆς Ἐκκλησίας Πατρός. Ἐντεῦθεν δ᾽ἔσχον τὴν ἀρχὴν αἱ λεγόμεναι σειραὶ (Catenæ), ἢ συλλογαὶ τῶν παρὰ τοῖς Πατράσι μαρτυριῶν κατὰ τοὺς διαφόρους τῆς Θεολογίας κλάδους.

Μετὰ ζήλου πολλοῦ ἠσχολήθησαν περὶ τὴν τῶν σειρῶν σύνταξιν οἱ θεολόγοι κατ᾽ἐξοχὴν τῆς ΙΕ΄. ἑκατονταετηρίδος, καὶ ὁμολογητέον, ὅτι οἱ συναθροισθέντες ὑπ᾽αὐτῶν τοῦ εἴδους τούτου θησαυροὶ ἀπέβησαν τηλικοῦτοι, ὥστε δικαίως ἄν τις ἔλεγε χαλεπωτάτην καὶ τὴν κατ᾽ἐλάχιστον ἐπαύξησιν αὐτῶν.

Πλὴν ἀλλὰ καὶ τὸ προκύπτον ἐκ τῆς τοιαύτης τῶν Πατέρων μελέτης ὄφελος οὐκ ἐξαρκεῖ ἐν τῷ νῦν χρόνῳ ἁπάσαις ταῖς τῆς Θεολογίας ἀνάγκαις· πρῶτον μὲν διότι τὰ ἐν ταῖς σειραῖς συνειλεγμένα χωρία καθίστανται ἀναγκαίως σκοτεινὰ διὰ τὴν συντομίαν αὐτῶν, οὔτε τῆς τοῦ ἐξ οὗ ἐλήφθησαν λόγου συνυφῆς δηλουμένης, οὔτε τῆς αἰτίας, ἢ τῆς διαθέσεως, ἢ τῆς ἀξιοπιστίας, μεθ᾽ ἧς ἀπεφήνατο Πατήρ τις περὶ τοῦ δεῖνος ἢ δεῖνος ζητήματος, γνωριζομένης· δεύτερον δέ, διότι ἠγέρθησαν παρὰ τοῖς νεωτέροις σοφοῖς ἀμφιβολίαι καὶ ἀντιλογίαι περί τε τῆς γνησιότητος καὶ τοῦ ἀνοθεύτου αὐτῶν τῶν συγγραμμάτων τῶν θείων Πατέρων, ὥσπερ καὶ ἀντιφατικαὶ ἄλλαι δόξαι περὶ τῶν περιστατικῶν, ἐν οἷς ταῦτα ἐγράφησαν, συχνάκις πρὸς τὰ ἀναφερόμενα χωρία μετὰ προσοχῆς προσβλέπειν ἐξαναγκάζουσαι· καὶ διότι τέλος ἀνεφύησαν διαφωνίαι περί τε τοῦ κύρους καὶ τῆς σπουδαιότητος ἁγίων τινῶν Πατέρων, ὥσπερ καὶ περὶ τῆς παιδείας καὶ τῆς σχέσεως αὐτῶν πρός τε τὰς σχολὰς καὶ τὰς αἱρέσεις καὶ τὰ μερικὰ πρόσωπα τοῦ καθ᾽ ὃν ἔζησαν χρόνου, καὶ περὶ τῆς ἱστορικῆς ἐπὶ πλέον τύχης τῶν συγγραμμάτων αὐτῶν, καὶ περὶ ἄλλων παραπλησίων ζητημάτων. Διὰ ταῦτα οὖν πάντα ἐγένετο ἀνάγκη βαθείας καὶ ἀκριβοῦς ἐρεύνης ἐν πᾶσι τοῖς ὑπομνημονευθεῖσιν ἀνωτέρω ζητήμασιν, ἵνα, συνῳδὰ πρὸς τὰ τῆς ἐρεύνης ταύτης ἀσφαλῆ ἐξαγόμενα, ὀρθῶς καὶ ἀκριβῶς αἱ δογματικαὶ τῶν Πατέρων μαρτυρίαι παράγωνται. Ἐγένετο τοῦτ᾽

ἔστιν ἀνάγκη ἐπιστήμης ἰδίας, δυναμένης συνεπικουρῆσαι τῇ Θεολογίᾳ, ὥσπερ ἡ Εἰσαγωγὴ εἰς τὴν ἁγίαν Γραφήν, ἢ ἡ Ἑρμηνευτική· καὶ οὕτως ἔσχε τὴν γένεσιν καὶ ἀνάπτυξιν αὐτῆς ἐν τοῖς νεωτέροις χρόνοις ἡ ἰδία ἐπιστήμη, ἡ λεγομένη Πατρολογία.

Πατρολογίαν δὲ λέγοντες οἱ καθ' ἡμᾶς Θεολόγοι ἐννοοῦσι γενικῶς περίληψιν τοῦ τε βίου καὶ τῆς διδασκαλίας καὶ τῶν συγγραμμάτων τῶν ἱερῶν ἐκείνων Ποιμένων, οἵτινες διά τε τῆς θερμῆς αὐτῶν πίστεως καὶ τῆς ἀμέμπτου αὐτῶν πολιτείας, καὶ διὰ τοῦ λόγου καὶ τῶν συγγραμμάτων αὐτῶν τὴν τῆς Ἐκκλησίας διδασκαλίαν ἐστήριξαν, διὸ δὴ καὶ Πατέρες τῆς Ἐκκλησίας ἐκλήθησαν. Ἐντεῦθεν γίγνεται δῆλον, ὅτι ἡ Πατρολογία περιέχει τρία τῆς Ἐκκλησιαστικῆς ἱστορίας ἰδιαίτερα μέρη, δυνάμενα χρησιμεῦσαι ἕκαστον εἰς ἰδίαν πραγματείας ὑπόθεσιν. Οὕτως ἄρα τοὺς μὲν βίους τῶν Πατέρων δυνάμεθα πραγματεύεσθαι καθ' ἕκαστον ἐν ἰδίαις συγγραφαῖς, τὴν δὲ διδασκαλίαν αὐτῶν ἀναγράφειν ἐν τῇ τῶν δογμάτων ἱστορίᾳ, καὶ τὴν περὶ τῶν συγγραμμάτων αὐτῶν θεωρίαν ἐνείρειν ἐν τῇ ἐκκλησιαστικῇ λεγομένῃ φιλολογίᾳ. Κατὰ τὴν ἐξωτερικὴν ἄρα μορφὴν ἡ Πατρολογία ἀνήκει εἰς τὰς ἱστορικὰς ἐπιστήμας, καὶ ὁμοιάζει μὲν μάλιστα τῇ τῆς φιλοσοφίας καὶ τῇ τῆς φιλολογίας ἱστορίᾳ, ἀλλ' οὐσιωδῶς κρινομένη οὐδὲν ἔχει πρὸς ταύτας κοινόν, διότι αὗται μὲν ἐξετάζουσι, καθόλου εἰπεῖν, τὴν βαθμιαίαν τοῦ ἀν-

θρωπίνου νοῦ κίνησιν, ἢ τὴν τῆς τέχνης ἀνάπτυξιν, καὶ καταγίνονται περὶ διαφόρους ἰδέας διαφόρων χρόνων καὶ συγγραφέων, ἡ δὲ Πατρολογία ἀναζητεῖ τὴν ἑνότητα καὶ συμφωνίαν τῶν ὑπ᾽αὐτῆς ἐξεταζομένων συγγραφέων, τὴν συμφωνίαν ἐν τῷ κηρύγματι διδασκαλίας, οὔσης ἐκ τῆς ἀρχῆς αὐτῆς θείας καὶ ἐντεῦθεν τελείας. Ἐν ταῖς δέλτοις αὐτοῖς οὐκ ἔστιν ἰδεῖν ἀνακαλύψεις ὑπερφυεῖς ἢ δεινὰς δημιουργικῶν διανοιῶν λαμπηδόνας, ἀλλ᾽ἐπιστήμην ἀφελῆ καὶ ἀπέριττον, διότι κύριον τῶν Πατέρων μέλημα ἦν οὐχὶ τὸ συντιθέναι ἢ ἐπινοεῖν ἀνήκουστόν τι ἢ ἄηθες, ἀλλὰ μόνον τὸ τηρεῖν καὶ ἑρμηνεύειν καὶ κηρύττειν καὶ κρατύνειν τὸ ὑπὸ τοῦ Πνεύματος τοῦ Θεοῦ εἰρημένον. Εἰς συμπέρασμα τῶν ἐρευνῶν αὐτῆς οὐδὲν ἄλλο δύναται προσαποφήνασθαι καθόλου ἡ Πατρολογία περὶ τῶν πονημάτων τῶν Θεοφόρων Πατέρων, ἢ τὸ ῥηθὲν περὶ τοῦ μεγίστου τῆς Ἐκκλησίας φωστῆρος, Βασιλείου τοῦ Μεγάλου, ὑπὸ τοῦ ὁμαίμονος καὶ ὁμοτρόπου ἀδελφοῦ αὐτοῦ, Γρηγορίου τοῦ Νύσσης ἐν ἀρχῇ τῆς εἰς τὴν ἑξαήμερον θαυμαστῆς αὐτοῦ ἑρμηνείας, ἔχον ὧδε: « Ὃν ἔχει λόγον πρὸς τὸν κόκκον ὁ ἄσταχυς, καὶ ἐξ ἐκείνου ὄν, « κἀκεῖνο μὴ ὄν, μᾶλλον δὲ ἐκεῖνο μὲν ἂν τῇ δυνάμει, παρηλ- « λαγμένος δὲ μεγέθει, καὶ κάλλει καὶ ποικιλίᾳ καὶ σχήματι· « τὸν αὐτὸν εἴποι τις ἂν ἐπέχειν λόγον πρὸς τὴν τοῦ μεγάλου « Μωϋσέως φωνὴν τὰ παρὰ τοῦ μεγάλου Βασιλείου διὰ φιλο- « πονωτέρας θεωρίας ἐξεργασθέντα νοήματα· ἃ γὰρ ἐκεῖνος

« εἶπεν ἐν ὀλίγοις τε καὶ ἐν περιγράπτοις τοῖς ῥήμασι, ταῦτα
« διὰ τῆς ὑψηλῆς φιλοσοφίας ὁ διδάσκαλος ἡμῶν αὐξήσας,
« οὐχὶ ἄσταχυν, ἀλλὰ δένδρον ἐποίησε κατὰ τὸν ὁμοιωθέντα
« τῇ βασιλείᾳ τῶν οὐρανῶν τοῦ σινάπεως κόκκον, τὸν ἐν τῇ
« καρδίᾳ τοῦ γεωργοῦντος ἀποδενδρούμενον, ὥστε γενέσθαι
« πανταχόθεν αὐτὸν ἀμφιλαφῆ τοῖς νοήμασι, καὶ διηπλωμένον
« ἀντὶ κλάδων τοῖς δόγμασι, καὶ τῷ σκοπῷ τῆς εὐσεβείας εἰς
« ὕψος ἀνατεινόμενον, ὡς καὶ τὰς ὑψηλάς τε καὶ μετεωροπό-
« ρους ψυχάς, ἃς πετεινὰ τοῦ οὐρανοῦ τὸ Εὐαγγέλιον ὀνομά-
« ζει, δύνασθαι τῷ μεγέθει τῶν τοιούτων κλάδων ἐννεοσεύειν».

Προδήλως οὖν καταφαίνεται ἐκ τούτων ὅ τε σκοπὸς καὶ ἡ σπουδαιότης τῆς Πατρολογίας.

Περὶ τὸν κλάδον τοῦτον τῆς Θεολογίας ἠσχολήθησαν μετὰ πλείστου ὅσου ζήλου καὶ οὐ διαλείπουσιν ἀσχολούμενοι οἱ ἐν τῇ Ἑσπερίᾳ θεολόγοι, καὶ κατ᾽ ἐξοχὴν οἱ καθολικοί, μετὰ καταπληκτικῆς ὄντως πολυμαθείας πολλὰ καὶ μεγάλα ἐν τῇ χρησιμωτάτῃ καὶ ἀναγκαιοτάτῃ ταύτῃ ἐπιστήμῃ πάλαι τε καὶ νῦν φιλοπονοῦντες συγγράμματα, ὀρθῶς εἰδότες καὶ ἀνομολογοῦντες, ὅτι μόνοι οἱ ἐπ᾽ ἀρετῇ καὶ ἀληθεῖ σοφίᾳ διαπρέψαντες Θεοφόροι Πατέρες ἐξεζήτησαν σοφώτατα τὰ βάθη τοῦ παναγίου Πνεύματος καὶ ἐξέχεαν ὡς φωστῆρες λαμπρότατοι ἁπανταχόσε τῆς οἰκουμένης τὸ φῶς τῆς ὑπ᾽ Αὐτοῦ τοῦ Θεοῦ καὶ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ἀποκαλυφθείσης Θρησκείας· ὅτι παρ᾽ αὐτοῖς μό-

νοις δυνατὸν εὑρεῖν καὶ δογμάτων ἀκρίβειαν, καὶ εὐσεβείας ἁγνότητα, καὶ νοημάτων ἀπέραντον πέλαγος, καὶ τῶν θείων Γραφῶν ἀκριβεστάτην ἐξήγησιν, καὶ θαυμασίων ἠθῶν ἁγιότητα, καὶ λόγου καὶ γλώσσης ὑψηγορίαν τε καὶ εὔροιαν ἀπαράμιλλον.

Ἐκ δὲ τῶν τῆς ἡμετέρας, τῆς ἁγιωτάτης τοῦ Χριστοῦ ὀρθοδόξου Ἐκκλησίας θεολόγων, δύο μόνον, ἐξ ὧν γε ἡμεῖς ἴσμεν, ἠσχολήθησαν περὶ τὴν Πατρολογίας συγγραφήν· ὁ ἀοίδιμος τοῦ ἡμετέρου Πανεπιστημίου Καθηγητὴς Κωνσταντῖνος Κοντογόνης καὶ ὁ πολύκλειτος Φιλάρετος, Τσερνιγόβου ἀρχιεπίσκοπος, εἰκότως ἀρίστου θεολόγου ὄνομα οὐ μόνον ἐν τῇ ὁμοδόξῳ Ῥωσσίᾳ, ἀλλὰ καὶ ἐν τῇ ἑτεροδόξῳ ἑσπερίᾳ κτησάμενος. Οἱ ὑπὸ τοῦ μακαρίτου καὶ πολυκλαύστου ἡμῶν καθηγητοῦ Κοντογόνου εἰς φῶς ἐλθόντες δύο τόμοι τῆς « φιλολογικῆς καὶ κριτικῆς ἱστορίας τῶν ἁγίων Πατέρων » δύνανται παραβληθῆναι πρὸς τὰ ἄριστα τοῦ τοιούτου εἴδους συγγράμματα, ἀλλὰ δυστυχῶς τὸ πολύτιμον τοῦτο ἔργον ἔμεινεν ἀτελείωτον, τῶν δύο μόνον πρώτων τόμων, ὡς προείρηται, εἰς φῶς ἐλθόντων, ἀντὶ τεσσάρων ἐπαγγελθέντων, ὡς ἐν τοῖς προλεγομένοις τοῦ ἔργου ἐμφαίνεται, καὶ τούτων διαλαμβανόντων μόνον τὰ κατὰ τοὺς ἀπὸ τοῦ πρώτου μέχρι τοῦ τετάρτου αἰῶνος ἀκμάσαντας ἁγίους τῆς Ἐκκλησίας Πατέρας. Οὕτω τοίνυν τοῦ πράγματος ἔχοντος, τῆς ἐκκλησιαστικῆς ἡμῶν φιλολογίας τουτ᾽ ἔστι στε-

ρουμένης ἔργου πλήρους ὡς πρὸς τὸν τῆς Πατρολογίας κλάδον, καὶ τέλος, περισπουδάστων φίλων, ἀκριβῶς ἐπισταμένων τὴν ἐκ τοιούτων συγγραμμάτων προσγιγνομένην τοῖς ὁμοεθνέσι, καὶ κατ᾽ ἐξοχὴν τοῖς θεολογοῦσιν, ὠφέλειαν, προτρεψαμένων εἰς τοῦτο τὴν ἡμῶν ἐλαχιστότητα, ἄσμενοι φέροντες ἐπέδομεν ἑαυτοὺς τῇ ἐκ τῆς ῥωσσικῆς ἐξελληνίσει τῆς ἐκ τριῶν τόμων ἀποτελουμένης δοκιμωτάτης τοῦ ἀρχιεπισκόπου Φιλαρέτου Πατρολογίας, ἀρχομένης ἀπὸ τοῦ πρώτου αἰῶνος καὶ καθηκούσης εἰς τὸν δωδέκατον.

Τὸ σύγγραμμα τοῦτο τοῦ διαπρεπεστάτου ἀρχιεπισκόπου «Ἱστορικὴ Διδασκαλία περὶ τῶν Πατέρων τῆς Ἐκκλησίας» ἐπιγραφόμενόν, ἐστιν ὁμολογουμένως πολυμαθείας τε καὶ κρίσεως βαθείας προϊὸν ἔξοχον. Ἡ μέθοδος, ἧπερ ὁ συγγραφεὺς ἠκολούθησεν, ἐστὶν ἀναντιρρήτως πολλῷ προτιμοτέρα τῆς μέχρι τοῦ νῦν ὑπὸ τῶν ἐν τῇ Ἑσπερίᾳ σοφῶν παραδεδεγμένης. Ὅτι δὲ πολλὰ καὶ ἔξοχα τὰ τοῦ συγγράμματος τούτου πλεονεκτήματα, ὁ διεξιὼν αὐτὸ πάντως πεισθήσεται. Συγγνώμη δ᾽ ἔστω ἡμῖν λέγουσιν, ὅτι οὐ σμικρὸν καὶ ἡμεῖς αὐτοὶ περὶ τὴν ἐξελλήνησιν αὐτοῦ ἐπονήσαμεν, διότι ἡ τοῦ συγγραφέως λέξις ἐστὶ πολλαχοῦ οὐ μόνον συνεπτυγμένη, ἀλλὰ καὶ ἁπλῶς εἰπεῖν ἀνεξέργαστος, ὅθεν δὴ καὶ ἐν πολλοῖς, τῆς σαφηνείας χάριν, ἄλλα μὲν διὰ μακροτέρων, ἄλλα δὲ δι᾽ ἀναπληρωματικωτέρων εἰπεῖν ἠναγκάσθημεν, πρὸς τὰς ἑκάστοτε χρείας προσ-

αρμοζόμενοι, καὶ τὸν νοῦν τοῦ συγγραφέως κατ' ἐξοχὴν μεθερμηνεῦσαι σπουδάζοντες. Πλὴν δὲ τῶν ἀνωτέρω ῥηθεισῶν δυσχερειῶν, παρερρύησαν ἀτυχῶς εἰς τὸ πρωτότυπον καί τινες κῆρες περί τε τὰ κύρια ὀνόματα, καὶ περὶ τὴν τῶν συγγραμμάτων τῶν θείων Πατέρων ἀνάλυσιν, καὶ μάλιστα περὶ τὰς εἰς αὐτὰ παραπομπάς. Πρὸς ἀσφαλεστέραν οὖν τῶν ὅσων ἐνευρίσκομεν ἁμαρτημάτων διόρθωσιν προεστησάμεθα βοηθοὺς (ἐκτὸς τοῦ ἔργου τοῦ ἀειμνήστου Κοντογόνου, ἐφ' ὅσον ἡμῖν τοῦτο ἐξήρκει, καὶ ἄλλων) τὰ σοφὰ τῶν ἐν τοῖς νεωτέροις πάνυ δοκίμων ἀνδρῶν, Κειλλιέρου, καὶ Καβέου, καὶ Moehler, καὶ Περμανεδέρου συγγράμματα· πρὸς δὲ τούτοις καὶ τὰ ἐν τῇ ὑπὸ τοῦ χαλκεντέρου Μιγνίου γενομένῃ ἐκδόσει ἁπάντων τῶν ἁγίων Πατέρων σοφώτατα προλεγόμενα. Καὶ σημειώσεις δὲ ἰδίας, διακρινομένας τοῖς στοιχείοις Σ. Μ., ἔγνωμεν προσεπισυνάψαι πολλαχοῦ, ἔργον πλῆρες ὡς οἷόν τε καὶ χρήσιμον τοῖς ὁμοεθνέσιν ἀναγνώσταις παρασχεῖν προθυμούμενοι.

Οὕτως οὖν ἐξελληνίσαντες, καὶ διασκευάσαντες, καὶ συμπληρώσαντες, ὡς εἴχομεν δυνάμεως καὶ εὐκαιρίας, τὸ ἐν λόγῳ τοῦ σοφωτάτου καὶ ἀοιδίμου Φιλαρέτου περισπούδαστον Φιλοπόνημα, προθύμως τε καὶ ἡδέως μάλα δωροφοροῦμεν αὐτὸ τῇ καθ' ἡμᾶς θεολογικῇ φιλολογίᾳ, τοῖς θεολογοῦσι τῶν ὁμοεθνῶν καὶ πᾶσι τοῖς ἐγκύπτουσι καθόλου τῇ μελέτῃ τῶν συγγραμμάτων τῶν θεοφόρων τῆς Ἐκκλησίας Πατέρων συνεπικουρῆσαι οὕτω

φιλοτιμούμενοι, μέχρις οὗ τοὐλάχιστον ἀναφανῇ ἔργον ἕτερον καὶ τοῦ ἀνὰ χεῖράς πως τελειότερον.

Τὸν δὲ λόγον κατακλείοντες, ὀφειλὴν ἱερὰν λογιζόμεθα εὐγνωμόνως διακηρῦξαι, ὅτι ἡ τῆς ἡμετέρας προαιρέσεως πλήρωσις ἐναπέκειτο τῇ εὐσεβόφρονι καὶ γενναίᾳ καὶ φιλοπάτριδι ἀντιλήψει ἀνδρὸς μεγαλωνύμου καὶ μεγαλοπράγμονος, τοῦ νῦν εὐκλεῶς ἐπὶ τῆς τῶν ΙΕΡΟΣΟΛΥΜΩΝ Ἀποστολικῆς Καθέδρας καθημένου καὶ τὸ κατὰ Χριστὸν πολίτευμα, τὸ ὑπερφυὲς ὄντως καὶ θεῖον, οὐχ ἧττον ἔργοις ἐπιδεικνυμένου, ἢ λόγοις κυρύσσοντος Μακαριωτάτου καὶ Ἁγιωτάτου Πατριάρχου ΝΙΚΟΔΗΜΟΥ τοῦ Α΄., τοῦ ἐν Χριστῷ μοι τρισεβάστου Πατρὸς καὶ προσκυνητοῦ Δεσπότου, ἀσμένως ἀναλαβόντος τὴν ἐν τῷ Πατριαρχικῷ Τυπογραφείῳ τοῦ Παναγίου Τάφου ἐκτύπωσιν τοῦ ἔργου, προσφερομένου παρ' ἡμῶν ὑπὲρ τοῦ εὐαγοῦς τούτου ἱδρύματος.

Ἔγραφον ἐν Πετρουπόλει ἐν ἔτει ͵αωπγ΄. κατὰ Δεκέμβριον.

ΝΕΟΦΥΤΟΣ ΠΑΓΙΔΑΣ ΑΡΧΙΜΑΝΔΡΙΤΗΣ.

ΕΙΣΑΓΩΓΗ

§ 1. *Ἔννοια περὶ τῶν Πατέρων τῆς Ἐκκλησίας.*

Ἵνα ἐννοήσῃ τις τί ἐστιν ἱστορικὴ περὶ τῶν Πατέρων τῆς Ἐκκλησίας διδασκαλία, ἀνάγκη αὐτῷ γιγνώσκειν πρότερον τίνες ὀνομάζονται Πατέρες τῆς Ἐκκλησίας.

Ἐκ πρώτης ὄψεως δῆλον, ὅτι τὸ ὄνομα Πατὴρ ἐν τῇ περὶ τῶν Πατέρων τῆς Ἐκκλησίας διδασκαλίᾳ οὐκ ἔστι κύριον ὄνομα. Κατὰ τοὺς παναρχαίους ἔτι χρόνους ἡ τιμητικὴ προσηγορία Πατὴρ ἀπεδίδοτο τοῖς διδασκάλοις τῆς ἀληθείας, καὶ ἐσήμαινε πλέον τι, ἢ ἁπλῶς τιμήν. Διὰ ταύτης ἐδηλοῦτο, ὅτι ὡς ὁ φύσει υἱὸς ὀφείλει τῷ πατρὶ αὐτοῦ τὴν κατὰ σάρκα γέννησιν, οὕτως ὁ ἄξιος μαθητὴς ὀφείλει τῷ ἀξίῳ διδασκάλῳ τὴν διὰ τῆς διδασκαλίας πνευματικὴν αὐτοῦ ἀναγέννησιν, εἴτε τὴν ἀνάπτυξιν τῶν ὑψηλοτέρων τῆς ψυχῆς δυναμέων. Ἀλλὰ διὰ τοῦ ὀνόματος τούτου ὑπεδεικνύετο προσέτι καὶ ἡ ἀμοιβαία τοῦ διδασκάλου καὶ μαθητοῦ σχέσις. Ὁ μὲν διδάσκαλος ἐκάλει τὸν μαθητὴν υἱόν, ἐκφράζων οὕτω τὴν πρὸς ἀλλήλους στοργήν, ὁ δὲ μαθητὴς ὠνόμαζε τὸν διδάσκαλον πατέρα, δηλῶν οὕτω τὴν ὀφειλομένην αὐτῷ εὐπείθειαν, ὑφ' ἧς τὸν ὅρον τελεῖται ἡ πνευματικὴ τοῦ μαθητοῦ μόρφωσις. Αἱ ὀνομασίαι αὗται ἀπαντῶσιν ἐν τῇ Παλαιᾷ Διαθήκῃ, «Πάτερ, πάτερ» βοᾷ ὁ Ἐλισαῖος πρὸς τὸν εἰς οὐρανοὺς ἀνερχόμενον Προφήτην καὶ διδάσκαλον αὐτοῦ (Βασιλ. Δ'. δ'. 1. 14. ϐ'. 5, 7, 15. δ'. 38). Πληρέστατα δ' ἐκφράζει τὴν τοιαύτην σημασίαν τοῦ πατρὸς καὶ τοῦ υἱοῦ ἡ Σοφία τοῦ Θεοῦ παρὰ τῷ Σολο-

μῶντι: «Υἱέ, ἐὰν δεξάμενος ῥῆσιν ἐμῆς ἐντολῆς κρύψῃς παρὰ σεαυτῷ, ὑπακούσεται σοφίας τὸ οὖς σου, καὶ παραβαλεῖς καρδίαν σου εἰς σύνεσιν . . . τότε συνήσεις φόβον Κυρίου, καὶ ἐπίγνωσιν Θεοῦ εὑρήσεις.» (Παρ. β'. 1.2.5. γ'.1.)

Ἡ τοιαύτη χρῆσις τῆς προσηγορίας πατρὸς καὶ υἱοῦ μετέβη καὶ εἰς τὴν χριστιανικὴν Ἐκκλησίαν καθ' ὅλην τῆς σημασίας τὴν ἔκτασιν, διότι αἱ ἔννοιαι καὶ τὰ συναισθήματα, ἑνούμενα ταῖς προσηγορίαις ταύταις, μᾶλλον ἢ ἄλλοθί που ἁγιάζονται ἐν τῷ Χριστιανισμῷ. Ἐντεῦθεν λέγει Κλήμης ὁ Ἀλεξανδρεύς: «Υἱὸς δὲ πᾶς ὁ παιδευόμενος καθ' ὑπακοὴν τοῦ παιδεύοντος» (Στρωμ. ά. 1.).

Συνάπτοντες τὴν τοιαύτην ἔννοιαν περὶ τοῦ πατρός, ὡς διδασκάλου, τῇ περὶ τῆς Χριστιανικῆς ἐκκλησίας ἐννοίᾳ, λαμβάνομεν ἔννοιαν περὶ τοῦ πατρὸς ὡς διδασκάλου αὐτῆς. Ἡ Ἐκκλησία τοῦ Χριστοῦ ἐστι βασιλεία τῆς ἀληθείας καὶ τῆς ἁγιότητος, θεμελιωθεῖσα ὑπ' Αὐτοῦ καὶ τῆς δυνάμεως τοῦ ἁγίου Πνεύματος, ἐνεργοῦντος διὰ τῶν ἐκλεκτῶν Αὐτοῦ, πάντοτε ζῶσα ἐν τοῖς μέλεσιν αὐτῆς. (Πέτρ. Α'. β'. 4. 5. Κορινθ. Β'. ς'. 8. Τιμόθ. Α'. γ'. 15. Ἐφεσ. β'. 20-22.). Ἡ δὲ ὑψηλὴ τιμὴ τῶν ἐκλεκτῶν ὀργάνων τοῦ Πνεύματος τοῦ Θεοῦ ἀποδέδοται τοῖς Πατράσι τῆς Ἐκκλησίας. Οὕτω Πατέρες τῆς Ἐκκλησίας εἰσὶ καὶ λέγονται ἐκεῖνοι, οἵτινες διδάσκουσι καὶ παιδεύουσι τοὺς ἀνθρώπους ὑπὸ τὴν ἐπιστασίαν τοῦ Θείου Πνεύματος κατὰ τοὺς ὑπ' αὐτοῦ δοθέντας τῇ ἐκκλησίᾳ κανόνας. Ἐν τῇ σειρᾷ τῶν μεγάλων Πατέρων οἱ Ἀπόστολοι τοῦ Χριστοῦ κατέχουσιν ἀναμφιβόλως τὴν πρώτην θέσιν. Διὰ τοῦτο καὶ ὁ Ἀπόστολος Παῦλος ἐκάλει ἑαυτὸν πατέρα τῆς Ἐκκλησίας τῆς Κορίνθου: «Ἐὰν γὰρ μυρίους παιδαγωγοὺς ἔχητε ἐν Χριστῷ, ἀλλ' οὐ πολλοὺς πατέρας. Ἐν γὰρ Χριστῷ Ἰησοῦ διὰ τοῦ

Εὐαγγελίου ἐγὼ ὑμᾶς ἐγέννησα» (Κορινθ. Α΄. δ΄. 15) [1]. Καὶ ἔστι μὲν ἀληθές, ὅτι οἱ Ἀπόστολοι ᾠκοδόμουν τῇ ἑαυτῶν διδασκαλίᾳ τοῦ ζῶντος Θεοῦ τοὺς ζῶντας ναοὺς ἐν ταῖς καρδίαις τῶν συγχρόνων, ἀλλ' ἡ διδασκαλία αὐτῶν διὰ τὸν λόγον, ὅτι ὑπῆρχεν ἡ ἄμεσος ἔκφρασις τῆς ἀμέσου θελήσεως τοῦ Χριστοῦ, καὶ ὅτι αὐτοὶ διετέλουν ὑπὸ τὴν ἰδιαιτέραν ἐπιστασίαν τοῦ Παρακλήτου Πνεύματος, ἀποτελεῖ τὸν ἀμετάβλητον θεσμὸν εἰς ἅπασαν τὴν τοῦ Χριστοῦ ἐκκλησίαν. Ἐντεῦθεν καὶ ἡ διδασκαλία αὐτῶν ἀπέφηνεν ἰδίαν, ὑψηλὴν τάξιν ἀνδρῶν, γνωριζομένων ὑπὸ τὸ ἰδιαίτερον ὄνομα τῶν Ἀποστόλων ὡς ὑπὸ Χριστοῦ ἀπεσταλμένων (Ἐφεσ. δ΄. 11. Κορινθ. Α΄. ιϐ΄. 28). Πατέρες δὲ τῆς Χριστιανικῆς Ἐκκλησίας ὀνομάζονται κατ' ἐξοχὴν οἱ μετὰ τοὺς Ἀποστόλους διδάσκαλοι αὐτῆς, οἱ εὐσεβείᾳ καὶ ταῖς ἄλλαις χριστιανικαῖς ἀρεταῖς διαπρέψαντες καὶ διὰ τῶν συγγραμμάτων αὐτῶν ἀναγεννήσαντες τὰ ἐν Χριστῷ πνευματικὰ τέκνα· Οὗτοί εἰσιν ἐκεῖνοι οἱ διάδοχοι τοῦ ἀποστολικοῦ πνεύματος, οἵτινες ταῖς τοῦ θεοφωτίστου νοῦ δωρεαῖς καὶ τῇ μεγάλῃ τῆς ψυχῆς καθαρότητι κεκοσμημένοι, ἠδύναντο καὶ ἐβούλοντο ἐκτιθέναι, καὶ ἤδη ἐξέθηκαν ἐν τοῖς ἑαυτῶν συγγράμμασι τὴν καθαρὰν τοῦ Χριστοῦ ἀλήθειαν, τὸν σπόρον τοῦ Θεοῦ, τὸν ἐνεργοῦντα εἰς σωτηρίαν. Τοιαύτην ἐννοεῖ τὴν σημασίαν τοῦ Πατρὸς πρὸς τοῖς ἄλλοις καὶ Βασίλειος ὁ Μέγας, εὑρίσκων ἐν τῷ χριστιανισμῷ Πατέρας, καὶ λέγων, ὅτι ὁ λαμβάνων παρά τινος τὸν τρόπον τῆς εὐσεβείας διαπλάσσεται ὑπ' αὐτοῦ, καὶ ὅτι τέκνον ἐστὶ πνευματικὸν τοῦ διδασκάλου ὁ μαθητής [2].

[1] Ὁ ἅγιος Εἰρηναῖος ἐκάλει ἐπ' ἴσης τοὺς Ἀποστόλους Πατέρας (κατὰ αἱρ. βιϐλ. γ΄. κεφ. 1).

[2] Τόμ. 1. σελ. 150. ΙΠ. σελ. 308.

§ 2. *Μερικαὶ τῶν Πατέρων τῆς Ἐκκλησίας ἰδιότητες ὡς πρὸς τὴν διάνοιαν—Χριστιανικὴ ἐκπαίδευσις.*

Ἐκ τῆς γενικῆς περὶ τῶν ἐκκλησιαστικῶν πατέρων ἐννοίας οὐ δυσχερὲς διακρῖναι τὰς μερικὰς αὐτῶν ὡς πρὸς τὴν πνευματικὴν ἀνάπτυξιν ἰδιότητας. Ἐπειδὴ οὗτοι ὀφείλουσιν ἀναγεννᾷν καὶ ἀνατρέφειν ἐν τῇ ἀληθείᾳ τοῦ Χριστοῦ τὰ τέκνα, ἤ, ὅπερ ταὐτόν, ἀνάγειν τοὺς ἀνθρώπους εἰς τὸν ὕψιστον τῆς πνευματικῆς μορφώσεως βαθμόν, ἕπεται ἐκ τούτου, ὅτι προϋποτίθεται ἐνυπάρχειν αὐτοῖς τὸν ὕψιστον τῆς πνευματικῆς μορφώσεως βαθμόν, ὅτι εἰσὶ κάτοχοι ἐκείνου τοῦ πνεύματος, ὅπερ ὀφείλουσι μεταδιδόναι τοῖς ἄλλοις· Ὁ Σωτὴρ παραβάλλει τούς τε Ἀποστόλους καὶ τοὺς αὐτῶν διαδόχους πρὸς τὸ φῶς, δι' οὗ φωτίζεται ὁ κόσμος (Ματθ. Ε. 14). Πῶς δ' ἄνευ ἀκριβοῦς γνώσεως τῆς πίστεως τοῦ Χριστοῦ, ἄνευ τῆς ἱκανότητος τοῦ ἀποκρίνεσθαι παντὶ τῷ ἐρωτῶντι περὶ τῆς πίστεως, οἱ τῆς Ἐκκλησίας Πατέρες ἠδύναντο εἶναι φῶς; Αἱ ἐκ πείρας παντὶ ἀνθρώπῳ καὶ δι' αὐτὸν μόνον προσκτώμεναι γνώσεις ἱκανοῦσι πρὸς ἰδίαν αὐτοῦ σωτηρίαν· ἀλλ' ὅπως οὗτος ὁδηγῇ εἰς τὴν ἀλήθειαν τοῦ Χριστοῦ χιλιάδας ὅλας, ἀνάγκη αὐτῷ ἔχειν πολλὰς γνώσεις καὶ πολλὰς ποιῆσαι ἀναγνώσεις καὶ μελέτας (Α'. Τιμόθ. δ'. 13-16). Ἐκ τούτου ἡ παίδευσις, οἵαν φυσικῶς ὑποτίθεται ἔχων ὁ Πατὴρ τῆς Ἐκκλησίας, ὀφείλει ἀναφέρεσθαι ἰδίως εἰς τὸ ἔργον τῆς ἀληθείας τοῦ Χριστοῦ. Ἄντικρυς ἐναντίον ἂν εἴη τῇ περὶ τῶν ἐκκλησιαστικῶν Πατέρων ἐννοίᾳ, εἰ ἐξητάζομεν αὐτοὺς μόνον ὡς φιλολόγους, παρορῶντες ὅλως τὴν δύναμιν τοῦ χριστιανικοῦ πνεύματος. Παρὰ τοῖς κήρυξι τοῦ Σταυροῦ τοῦ Χριστοῦ ἡ δύναμις ὑφίσταται οὐκ ἐν τῷ λόγῳ, ἀλλ' ἐν τῷ πνεύματι. Εἴ ἐστι δύναμις πνεύματος, εἴ ἐστι νοῦς σύμ-

φωνος τῷ τοῦ Χριστοῦ, τοῦτο ἀναμφίβολον ὑπάρχει γνώρισμα τοῦ Πατρὸς τῆς Ἐκκλησίας. (Πρὸς Τιμ. Β'. γ'. 14-17.) Ἡ εὐρύτης καὶ ἡ ἀκρίβεια τῶν γνώσεών εἰσιν ἀναγκαιότεραι τῷ διδασκομένῳ τὴν ἀλήθειαν τοῦ Χριστοῦ, ἢ ἄλλῳ τινὶ ἐπιστήμονι, ἐὰν μόνον ἔχῃ ὑπ' ὄψιν, ὅτι διδάσκεται τὴν ἀλήθειαν αὐτοῦ τούτου τοῦ Σωτῆρος (Τιμ. Β'. γ'. 7). Οὕτω καὶ ὁ ἅγιος Κύριλλος ὁ Ἀλεξανδρείας ἡγεῖται Πατέρας ἐκείνους τοὺς ἄνδρας τῆς Ἐκκλησίας, οἵτινες «καὶ ἐπὶ ὀρθότητί τε καὶ ἀκριβείᾳ δογμάτων διαβόητον ἔχουσι παρὰ πάντων εὐφημίαν» [1]. Τὰ συγγράμματα περιλαμβάνουσι τὸ πνεῦμα τοῦ διδασκάλου, καὶ διὰ τούτου ἀναγεννῶνται τῇ Ἐκκλησίᾳ τὰ τέκνα οὐχ ἑνός, ἀλλὰ διαφόρων χρόνων. Εἰ μὴ ὑπῆρχον τὰ συγγράμματα ταῦτα, παρεμορφοῦτο ἂν τῷ χρόνῳ ὁ γνήσιος χαρακτὴρ τῶν Πατέρων. Διότι μεθ' ὅσης καὶ ἂν ἐπενεργῶσιν ἰσχύος ἐπὶ τῶν συγχρόνων τό τε παράδειγμα τῆς ζωῆς καὶ ἡ ἐκ στόματος διδασκαλία, ἀλλ' ὅμως τοῖς ἐπιγιγνομένοις τὸ μὲν τελευταῖον ἀποβαίνει ἀπολωλὼς θησαυρός, τὸ δὲ πρῶτον οὐδεμία βιογραφία δύναται παραδοῦναι οὕτως, ὥστε διαζωγραφεῖσθαι ἐν αὐτῇ ἀκριβῶς τὸ πνεῦμα τοῦ διδασκάλου· ἄλλως τε καὶ τὸ παράδειγμα μερικὰς μόνον παρέχει ἐννοίας καὶ ἀρχάς. Ἐντεῦθεν ἀναγκαία ἰδιότης τοῦ Πατρὸς τῆς Ἐκκλησίας ἐστὶν ἡ πνευματικὴ τοῦ νοῦ μόρφωσις, ἡ ἐν τοῖς συγγράμμασι δεικνυμένη.

§ 3. *Ὡς πρὸς τὴν θέλησιν — ἁγιότης.*

Ἀδύνατον διαχωρίσαι ἀπὸ τῆς περὶ τοῦ πατρὸς τῆς Ἐκκλησίας ἐννοίας τὴν περὶ ἀνδρὸς ἁγίας ζωῆς.

Ἡ καθαρὰ τῆς ἀληθείας ἐννόησις εὑρίσκεται ἐν συνδέσμῳ μετὰ τῆς καθαρότητος τῆς πολιτείας. Οἱ καθαροὶ

[1] Τ. 2. σελ. 73.

τῇ καρδίᾳ ὁρῶσι τὸν Κύριον, ὁ δὲ διδάσκαλος τῆς ζώσης τοῦ Χριστοῦ ἀληθείας αὐτῆς ἕνεκα τῆς ἀληθείας ὀφείλει χρηματίζειν παράδειγμα ζωῆς, ὑπὸ τῆς ἀληθείας ἐμψυχουμένης. Ἀδύνατον προσέτι τὸ παράδειγμα προσώπων τοιούτων, οἷοι οἱ Πατέρες τῆς Ἐκκλησίας, μένειν ἄνευ ἰσχύος εἰς τὴν ἐπίδοσιν τῆς ἀληθείας (Ματθ. ε. 13). Ὅθεν ἀναγκαία ἡ ἀγάπη τῆς ἀληθείας πρὸς μετάδοσιν αὐτῆς ἐν πάσῃ τῇ καθαρότητι. Ὁ μὴ ἀγαπῶν εἰλικρινῶς τὴν ἀλήθειαν οὐδὲν ἔχει θυσιάσαι χάριν αὐτῆς· Οὗτος βεβαίως οὐκ εἰς μακρὰν καταφρονήσει αὐτῆς, ὅτε ἐμφανίζεται αὐτῷ περίστασις ἤτοι ὑποστῆναι ὕβριν τινὰ ὑπὲρ αὐτῆς, ἢ προσκτήσασθαί τι χάριν προσφιλῶν παθῶν. Ἡ ἀνθρωπίνη καρδία ἐστὶ πονηρά. Διὰ τοῦτο ὀφείλει ὁ ἄνθρωπος πολλὴν καταβαλεῖν προσπάθειαν, ὅπως μηδέποτε ἐπιτρέπῃ εἰς τὸ ἐνδόμυχον πάθος τὴν διάγνωσιν περί τινος πράγματος. Τὸ ἀποστολικὸν πνεῦμά ἐστι τοιόνδε: «Ἡ παράκλησις ἡμῶν οὐκ ἐκ πλάνης οὐδ' ἐξ ἀκαθαρσίας, οὔτε ἐν δόλῳ· ἀλλὰ καθὼς δεδοκιμάσμεθα ὑπὸ τοῦ Θεοῦ πιστευθῆναι τὸ Εὐαγγέλιον, οὕτω λαλοῦμεν, οὐχ' ὡς ἀνθρώποις ἀρέσκοντες, ἀλλὰ τῷ Θεῷ τῷ δοκιμάζοντι τὰς καρδίας ἡμῶν» (Θεσσαλον. Α'. β'. 3. 4.). Τὸ δ' ἀποστολικὸν πνεῦμα ὀφείλει δείκνυσθαι καὶ ἐν τοῖς διαδόχοις τῶν Ἀποστόλων, οἷοι οἱ Πατέρες τῆς Ἐκκλησίας (Τιμ. Β'. β'. 3-5. 15. Α'. δ'. 12). «Ἡμεῖς γὰρ εἴτε διωγμούς, εἴτε θλίψεις, εἴτε βασιλικὰς ἀπειλάς, εἴτε τὰς τῶν ἀρχόντων ὠμότητας, εἴτε τινὰ πειρασμὸν ἕτερον παρὰ τῶν αἱρετικῶν ὑπεμείναμεν, ὑπὲρ τῆς εὐαγγελικῆς πίστεως τῆς ἐν Νικαίᾳ τῆς Βιθυνίας παρὰ τῶν 318 ἁγίων Θεοφόρων Πατέρων κυρωθείσης, ὑπέστημεν· Ταύτην γὰρ καὶ ὑμῖν καὶ ἡμῖν καὶ πᾶσι τοῖς μὴ διαστρέφουσι τὸν λόγον τῆς ἀληθοῦς πίστεως συναρέσκειν δεῖ». Οὕτως ἔγρα-

φον οἱ Πατέρες τῆς Β΄. οἰκουμενικῆς Συνόδου τοῖς δυτικοῖς ἐπισκόποις ([1]). Τοιοῦτος ὁ γενικὸς χαρακτὴρ τῶν ἐκκλησιαστικῶν Πατέρων.

§ 4. *Πνευματικὸν χρίσμα καὶ ὁρισμὸς αὐτοῦ.*

Ἐὰν ἑνώσωμεν ἐν τῷ αὐτῷ προσώπῳ ἀμφοτέρας τὰς ἰδιότητας τῶν Πατέρων τῆς Ἐκκλησίας, τόν τε πνευματικὸν φωτισμὸν καὶ τὸν πνευματικὸν βίον, νέα προκύπτει ἀφ᾽ ἑαυτῆς ἰδιότης — ἡ ἐν αὐτοῖς ἐνοίκησις τοῦ Πνεύματος τοῦ Θεοῦ. Ἄνευ τῆς χάριτος τοῦ Παρακλήτου Πνεύματος ὁ πεσὼν ἄνθρωπος οὔτε πνευματικὸν φωτισμὸν οὐδὲ πνευματικὸν βίον δύναται ἔχειν. Εἰ δὲ ὁ πνεματικὸς φωτισμὸς καὶ ἡ ἁγία πολιτεία εἰσὶν ἀπαραίτητα χαρακτηριστικὰ τοῦ πατρὸς τῆς Ἐκκλησίας, ἀναγκαῖόν ἐστι καὶ τὸ χρίσμα τοῦ Πνεύματος. Ἐντεῦθεν καὶ ἡ Ἐκκλησία καλεῖ τοὺς Πατέρας Θείους, Θεοφόρους, Θεοσόφους, Θεοκήρυκας. Τῷ ὄντι μόνοι οἱ Προφῆται καὶ οἱ Ἀπόστολοι ἐτέλουν ὑπὸ τοιαύτην ἄμεσον ἐπιρροὴν τοῦ Πνεύματος τοῦ Θεοῦ, ὥστε οὐκ αὐτοὶ ἐλάλουν, ἀλλὰ τὸ Πνεῦμα τοῦ οὐρανίου Πατρὸς ἐλάλει ἐν αὐτοῖς. Διὸ καὶ τὰ συγγράμματα αὐτῶν εἰσι Θεόπνευστα (Ματθ. ί. 20. Πέτρ. Β΄. ά. 20-21). Ἀλλ᾽ ὁ Θεός, λέγει ὁ Ἀπόστολος, καταστήσας ἐν τῇ Ἐκκλησίᾳ πρῶτον Ἀποστόλους καὶ Προφήτας, κατέστησεν ἔπειτα Ποιμένας καὶ Διδασκάλους (Κορινθ. Α΄. ιβ΄. 28. Ἐφεσ. δ΄. 11)· δηλονότι οἱ διδάσκαλοι τῆς Ἐκκλησίας εὑρίσκονται ἐπ᾽ ἴσης ὑπὸ τὴν ἐπιρροὴν τοῦ Πνεύματος τοῦ Θεοῦ, τοῦ ἐνεργοῦντος πρὸς τὴν οἰκοδομὴν τοῦ σώματος τοῦ Χρι-

([1]) Θεοδώρ. Ἐκκλ. ἱστορ. βιβλ. έ. κεφ. 9.

στοῦ. Ἀναμφίβολον μόνον, ὅτι ἀντεξεταζόμενος πρὸς τὸν ἀποστολικὸν ὑποδεέστερος εὑρίσκεται ὁ βαθμός, οἷον, κατὰ τὸν Ἀπόστολον, κατέχουσιν οἱ διδάσκαλοι τῆς Ἐκκλησίας ἐν τῷ ὑπὸ τοῦ Πνεύματος ἡγιασμένῳ κράτει. Ἡ ἀποστολικὴ διδασκαλία, διασαφηνισθεῖσα ὑπὸ τῆς ἱστορικῆς πείρας, δείκνυσιν, ὅτι ὁ πνευματικὸς φωτισμὸς τῶν διδασκάλων τῆς Ἐκκλησίας ἐξηρτᾶτο ἐκ τῶν προσωπικῶν αὐτῶν ἰδιοτήτων καὶ δώρων, καὶ ἐπολλαπλασιάζετο ἐν ταῖς ψυχαῖς αὐτῶν κατὰ τὸ μέτρον τῆς προκοπῆς ἐν τῷ πνευματικῷ βίῳ (Τιμ. Β΄. ά. 6. γ΄. 14). Μένοντες δ' ἐν τῇ ἀγάπῃ, ἔμενον ἐν τῷ Θεῷ, καὶ καθαίροντες ἑαυτοὺς τῇ ἐνεργῷ ἀγάπῃ, ἐγίγνοντο οἶκος τοῦ Θεοῦ (Α΄. Ἰωάν. δ΄. 16). Ἡ ἐν αὐτοῖς εἴκησις τοῦ ἁγίου Πνεύματος ἐδηλοῦτο ἐνίοτε καὶ δι' ἐκτάκτων σημείων, οὐδέποτε ὅμως ἦν ἐπικρατοῦσα, ὡς ἐν τοῖς Ἀποστόλοις, ἀλλ' ἀείποτε ἔμενεν ἐν συνδέσμῳ μετὰ τῆς ἠθικῆς αὐτῶν καταστάσεως.

§ 5. α) *Σχέσις τῶν Πατέρων πρὸς τὴν ἁγίαν Γραφήν.*

Οὔτε ὁ τοῦ νοῦ ὑψηλὸς φωτισμός, οὔτε αἱ τῆς καρδίας ὑψηλαὶ ἰδιότητες καθ' ἑαυτάς, ἀπαλλάττουσι καὶ αὐτοὺς τοὺς ὑψηλοὺς ἄνδρας τῶν δοξασιῶν, τῶν προερχομένων συνήθως ἐκ τῆς ἀσθενείας τῆς ἀνθρωπίνης φύσεως, καὶ διὰ τοῦτο οὐ συμφώνων ἀείποτε τῇ ἀληθείᾳ. Ἐντεῦθεν ἀνώτατον κριτήριον πρὸς γνῶσιν τοῦ ἀμφιβόλου κύρους τῶν δοξασιῶν τῶν Πατέρων τῆς Ἐκκλησίας ἐστὶν ὁ λόγος τοῦ Θεοῦ. Οὗτος, ὡς λόγος τοῦ Θεοῦ, καὶ οὐκ ἀνθρώπινος, ὡς αἰώνιος λύχνος τῶν ὁδῶν τῶν ἀνθρώπων, ἀείποτ' ἐστὶ πιστὸς τῆς ἀληθείας διδάσκαλος (Πετρ. Β΄. ά. 19). Οὗτος, ὡς λόγος τοῦ Θεοῦ, θεωρεῖται ὀρθῶς ἀείποτε ὁ ὑπέρτατος κριτὴς ἁπασῶν τῶν ἀνθρωπίνων δοξασιῶν. Οὗτος, ὡς φωνὴ τοῦ

Θεοῦ πρὸς τοὺς ἀνθρώπους ἐξεικονίζει πιστῶς καὶ διασώζει ἀμετάβλητον τὸ ἀγαθὸν καὶ σωτήριον τοῦ Θεοῦ θέλημα περὶ τῶν ἀνθρώπων. Ἐντεῦθεν καὶ αὐτοὶ οἱ Πατέρες τῆς Ἐκκλησίας ἐβεβαίουν τὰς ἑαυτῶν διδασκαλίας τῷ λόγῳ τοῦ Θεοῦ. «Μηδὲ ἐμοὶ τῷ ταῦτά σοι λέγοντι ἁπλῶς πιστεύσῃς, λέγει ὁ Ἱεροσολύμων Κύριλλος, ἐὰν τὴν ἀπόδειξιν τῶν καταγγελλομένων ἀπὸ τῶν θείων μὴ λάβῃς Γραφῶν. Ἡ σωτηρία γὰρ αὕτη τῆς πίστεως ἡμῶν οὐκ ἐξ εὑρεσιλογίας, ἀλλ' ἐξ ἀποδείξεως τῶν Θείων ἐστὶ Γραφῶν» (1). Ὁ ἅγιος Ἰωάννης ὁ Χρυσόστομος ἀποφαίνεται: «Κἂν νεκρὸς ἀναστῇ, κἂν ἄγγελος ἐξ οὐρανοῦ καταβῇ, πάντων ἔστωσαν αἱ Γραφαὶ ἀξιοπιστότεραι. Ὁ γὰρ τῶν ἀγγέλων Δεσπότης, καὶ τῶν νεκρῶν καὶ τῶν ζώντων Κύριος, αὐτὸς ἐνομοθέτησεν» (2). Οὕτως ἐδίδασκον Βασίλειος ὁ Μέγας (3), Γρηγόριος ὁ Νύσσης (4), ὁ Αὐγουστῖνος (5), καὶ ἄλλοι (6).

(1) Κατήχ. Δ'.

(2) Ὁμιλ. Δ'. εἰς τὸν Λάζαρ. ὡσαύτως καὶ ἐν τῇ ἑρμηνείᾳ εἰς τὸν 99 ψαλμ.

(3) Ὁ μέγας οὗτος διδάσκαλος παρανεγίνωσκε τὰς δοξασίας Γρηγορίου τοῦ Θαυματουργοῦ καὶ Διονυσίου τοῦ Ἀλεξανδρείας, καὶ ἔγραφεν: «ἃ οὐκ ἔστιν ὑπὸ τῶν ἁγίων κηρυσσόμενα εὑρεῖν, ταῦτα ὡς ξένα καὶ ἀλλότρια τῆς εὐσεβοῦς πίστεως παντάπασι παραιτούμενος . . . . » (περὶ πίστεως).

(4) Ὁ ἅγ. Γρηγόρ. ὁ Νύσσης: «ἐκεῖνα μὲν (τὰ τῷ ἁγίῳ Βασιλείῳ φιλοσοφηθέντα) κεκρατήσθω, καὶ μόνης τῆς Θεοπνεύστου Διαθήκης τὰ δευτερεῖα φερέσθω». Ἀπολογητ. περὶ τῆς ἑξαημ.

(5) Ὁ Αὐγουστῖνος: «ἐδιδάχθην μόνον τοῖς βιβλίοις τῆς ἁγ. Γραφῆς ἀποδιδόναι τὴν τιμὴν τοῦ πιστεύειν εἰς τὸ ἀλάθητον αὐτῶν, τὰ δ' ἄλλα βιβλία ἀναγιγνώσκω μετὰ τοιαύτης πεποιθέσεως, ὅτι οἱ συγγραφεῖς αὐτῶν οὕτως ἐφρόνουν καὶ ἔγραψαν, καίπερ ἄλλως ὄντες ἅγιοι καὶ διδακτικοί». Ep. XVIII. ad Hieron C.I. n. 3. Ὁ αὐτὸς ἔγραφε: «τίς ἀγνοεῖ, ὅτι ἡ κανονικὴ ἁγία Γραφὴ οὕτω προτιμᾶται πάντων τῶν ἄλλων συγγραμμάτων τῶν ἐπισκόπων, ὥστε τέλεον ἄτοποι θεωροῦνται αἱ περὶ τούτου ἔριδες καὶ φιλονεικίαι,— βέβαιον ἆρά γε, ἀληθὲς ἆρά γε ὅ,τι ἀνεγνωρίσθη, τοῦτο καὶ εὑρίσκεται ἐν αὐτῇ; Τὰς δὲ τῶν ἐπισκόπων ἐπιστολάς, εἴ τίς ἐστιν ἐν αὐταῖς ἔκκλισις ἀπὸ τῆς ἀ-

Ἐκ τούτου κατανοεῖται, ὅτι αὐτὸ τὸ ὑπούργημα τῶν Πατέρων τῆς Ἐκκλησίας τοῖς ἀνθρώποις εἰς τοῦτο καὶ συνίσταται, ὅτι ἑρμηνεύουσι τὸν λόγον τοῦ Θεοῦ ἐν τῇ γνησίᾳ αὐτοῦ μορφῇ, ἀλλ' οὐκ ἀποκαλύπτουσιν ἀληθείας ἀγνώστους τῷ Λόγῳ τοῦ Θεοῦ. Πρὸς τούτοις δὲ κατανοεῖται καὶ ὅτι τὸ πνευματικὸν αὐτῶν χρίσμα οὐ δύναται ἐξισοῦσθαι πρὸς τὸ ἐκ τῆς ἁγίας Γραφῆς κῦρος τῆς διδασκαλίας αὐτῶν. Τοὐναντίον ὅσῳ βαθύτερον εἰσδύει ἡ ψυχὴ τοῦ διδασκάλου εἰς τὸ πνεῦμα τῶν θείων διδασκαλιῶν, εἰς τὸ πνεῦμα τοῦ Παρακλήτου Πνεύματος, τοσούτῳ δαψιλέστερον δείκνυται ἐν αὐτῇ τὸ πνευματικὸν χρίσμα.

§ 6. β) *Σχέσις πρὸς τὴν Ἐκκλησίαν.*

Ὅσῳ παράδοξον φαίνεται εἴ τις, καλούμενος Πατὴρ τῆς Ἐκκλησίας, ἀνέτρεφε τέκνα μηδαμῶς δυνάμενα καλεῖσθαι

ληθείας, ἔξεστιν ἐλέγχειν σοφωτέρῳ λόγῳ, μείζονι ἀξίᾳ ἄλλων ἐπισκόπων, συνόδοις . . . . Αὐταὶ αἱ πλήρεις (plenaria) σύνοδοι τοῦ προτέρου χρόνου διορθοῦνται ὑπὸ τῶν μετὰ ταῦτα, ὅτε τῇ πείρᾳ τῶν πραγμάτων ἀποκαλύπτεται ὅ,τι ἦν κεκαλυμμένον, καὶ γίγνεται γνωστὸν τὸ τέως ἀποκεκρυμμένον, — ἄνευ ἐρίδων φθόνου, μετ' ἁγίας ταπεινοφροσύνης, ἐν κοινῇ εἰρήνῃ, μετὰ χριστιανικῆς ἀγάπης». De Baptismo cont. Donatist. II. 3.

(6) Ἀμβρ. ἐπ. 47. τ. 3. σελ. 152. Ὁ Π. Φώτιος ἐν τῇ ἐπιστ. πρὸς τὸν Ἀκυληΐας μητροπολίτην λέγει: « . . . πόσαι γὰρ περιστάσεις πραγμάτων πολλοὺς ἐξεβιάζοντο, τὰ μὲν παραφθέγξασθαι, τὰ δὲ πρὸς οἰκονομίαν εἰπεῖν, τὰ δὲ καὶ τῶν ἀπειθούντων ἐπαναστάντων, τὰ δὲ καὶ ἀγνοίᾳ, οἷα δὴ περιολισθῆσαι ἀνθρώπινον; . . . . Εἰ δὲ παρεφθέγξαντο μέν, ἢ διά τινα αἰτίαν νῦν ἀγνοουμένην ἡμῖν τῆς εὐθύτητος ἐξετράπησαν, οὐδεμία δὲ ζήτησις αὐτοῖς προσενήνεκται, οὐδ' εἰς μάθησιν τῆς ἀληθείας οὐδεὶς αὐτοὺς παρεκάλεσε, Πατέρας μὲν οὐδὲν ἔλαττον αὐτούς, εἰ καὶ μὴ τοῦτο εἶπον, ἐπιγραφόμεθα διά τε τὸ τοῦ βίου λαμπρόν, καὶ τῆς ἀρετῆς τὸ αἰδέσιμον, καὶ τῆς ἄλλης εὐσεβείας τὸ ἀκατάγνωστον, τοῖς δὲ λόγοις τούτων, ἐν οἷς παρηνέχθησαν, οὐχ ἑψόμεθα».

τέκνα αὐτῆς, τόσῳ κατ' αὐτὴν τὴν περὶ Ἐκκλησίας ἔννοιαν ἀναγκαία ὑποτίθεται οὖσα ἡ ἄμεσος ἀπ' αὐτῆς ἐξάρτησις τοῦ ἐκκλησιαστικοῦ πατρός. Ἡ Ἐκκλησία δι' αὐτὸ τοῦτο, ὅτι ζῇ τῷ Πνεύματι τοῦ Θεοῦ καὶ τεθεμελίωται ἐπὶ τῆς διδασκαλίας τῶν Προφητῶν καὶ τῶν Ἀποστόλων, ἐστὶ κριτὴς τῶν εἰς αὐτὴν ἀνηκόντων· Τηροῦσα τὸν Θεῖον λόγον διαγιγνώσκει τὴν ἔννοιαν αὐτοῦ τῇ πείρᾳ τῶν αἰώνων, καὶ ἑπομένως δύναται κρίνειν περὶ τῶν δώρων καὶ τῶν ἔργων τοῦ νοῦ τῶν διδασκάλων αὐτῆς. Τηροῦσα τὸ θέλημα τοῦ Πνεύματος τοῦ Θεοῦ, ἀναγνωρίζει τὴν ἁγιότητα τῶν προσώπων, ὅτε ὁρᾷ ἐν αὐτοῖς τὸ θέλημα αὐτοῦ, ἀλλ' οὐ τὸ τῶν ἀνθρώπων, καὶ ἑπομένως ἡ φωνὴ αὐτῆς ἐστι πιστὸς μάρτυς περὶ τῶν ἠθικῶν τοῦ διδασκάλου ἰδιοτήτων. Τοιούτῳ τρόπῳ ἡ ἐσωτερικὴ κοινωνία τοῦ διδασκάλου μετὰ τῆς Ἐκκλησίας τοῦ Χριστοῦ, οὖσα κοινωνία κατά τε τὴν πίστιν καὶ τὸν βίον, ἀποτελεῖ τὴν τοῦ Πατρὸς τῆς Ἐκκλησίας ἰδιότητα. Ἄλλως εἰπεῖν, ὡς συμπληρωτικὸς χαρακτὴρ τοῦ ἐκκλησιαστικοῦ πατρὸς χρησιμεύει ἡ ἀναγνώρισις αὐτοῦ ὡς τοιούτου παρὰ τῆς Ἐκκλησίας, ἀναγνώρισις, ἐρειδομένη ἐπὶ τῆς βεβαιώσεως τοῦ Πνεύματος τοῦ Θεοῦ, οὐδεμία τοίνυν ἡμῖν ἀμφιβολία, ὅτι ἐν τῷ ἀριθμῷ τῶν ἐκκλησιαστικῶν Πατέρων εἰσὶν ἅπαντες οἱ διδάσκαλοι οἱ ὑπὸ τῆς Ἐκκλησίας ἀναγνωρισθέντες ὡς ἅγιοι κατὰ τὴν εἰς τοῦτο βεβαίωσιν τοῦ Κυρίου. Τουναντίον δὲ αἱ γνῶμαι τῶν κατὰ μέρος προσώπων περὶ τῆς ἀξίας αὐτῶν, καὶ περ σπουδαίων ὄντων τῶν μαρτύρων, οὐ δύνανται ἔχειν ἀμετάβλητον ἰσχὺν ἐν ἁπάσαις ταῖς περιστάσεσι. Τοιοῦτοι ἔπαινοι τῶν ἐκκλησιαστικῶν προσώπων, δεικνύντες ἐν αὐτοῖς ἀγαθάς τινας ἰδιότητας, οὐκ ἀποκλείουσι πάντοτε τὰς ἐλλείψεις τὰς ἀπᾳδούσας πρὸς τὴν ὑψηλὴν κλῆσιν τοῦ

Πατρὸς τῆς Ἐκκλησίας. Ἡ πέμπτη οἰκουμενικὴ Σύνοδος λέγει: «οὐ βοηθήσει τοῖς ἀσεβέσι (τοῖς ὑπερασπισταῖς τοῦ ψεύδους), εἰ τυχόν τινες ἔγραψαν ὑπὲρ αὐτῶν. Καὶ ὁ μέγας Βασίλειος ἔγραψεν ὅμοιόν τι περὶ τοῦ Ἀπολιναρίου, ἀλλὰ διὰ τούτου οὐκ ἐδικαίωσεν αὐτόν» (¹). Οὕτω καὶ ὁ δεύτερος κανὼν τῆς ἕκτης οἰκουμενικῆς Συνόδου ἐπαινεῖ Θεόφιλον καὶ Τιμόθεον τοὺς Ἀλεξανδρ. μόνον ὡς συγγραφεῖς τῆς ἐκκλησιαστικῆς εὐταξίας. Γνωστὸν δ' ὅσον αἱ ἀδυναμίαι τοῦ Θεοφίλου ἐγένοντο ἐπιζήμιοι τῇ ἁγίᾳ Ἐκκλησίᾳ ἐν τῇ ὑποθέσει τοῦ θείου Χρυσοστόμου, καὶ οὔτε οὗτος, οὔτε ὁ Τιμόθεος ἀνεγνωρίσθησαν ὑπὸ τῆς Ἐκκλησίας ὡς ἅγιοι. Λέγοντες, ὅτι διὰ τὸ ἀξίωμα τοῦ ἐκκλησιαστικοῦ Πατρὸς ἀναγκαία ἡ ἀναγνώρισις αὐτοῦ ἐν τῇ κλήσει ταύτῃ παρὰ τῆς Ἐκκλησίας, οὐ περιορίζομεν τὴν τοιαύτην ἀναγνώρισιν μόνον ἐν τοῖς Μηνολογίοις τῆς ἑλληνικῆς ἢ τῆς σλαβικῆς Ἐκκλησίας, διότι, ὡς γνωστόν, ταῦτα οὐκ εἰσὶ πλήρη. Ἐν τῷ ἑλληνικῷ Μηνολογίῳ οὐκ ἔστιν ὁ ἅγιος Ἱλάριος ὁ Πικτώνων, ἀλλ' ὁ βίος καὶ τὰ συγγράμματα αὐτοῦ καὶ ἡ ἱστορία, ὡς καὶ ἡ ἀπόφανσις τῆς πέμπτηςς οἰκουμενικῆς Συνόδου (²), κατατάττουσιν αὐτὸν ἐν τοῖς μεγάλοις τῆς Ἐκκλησίας Πατράσι. Τούτου ἕνεκα προκειμένου περὶ τῆς ἀναγνωρίσεως προσώπου τινὸς ὑπὸ τῆς Ἐκ-

(¹) Labbaei Concil t. v. p. 489.

(²) Ἐν τῇ γ'. συνεδριάσει λέγει ἡ ε'. οἰκουμενικὴ Σύνοδος: «ἑπόμεθα ἐν πᾶσι τοῖς ἁγίοις Πατράσι καὶ διδασκάλοις τῆς Ἐκκλησίας: Ἀθανασίῳ, Ἱλαρίῳ, Βασιλείῳ, Γρηγορίῳ τῷ Θεολόγῳ, Γρηγορίῳ τῷ Νύσσης, Ἀμβροσίῳ, Αὐγουστίνῳ, Θεοφίλῳ, Ἰωάννῃ τῷ Κωνσταντινουπόλεως, Κυρίλλῳ, Λέοντι, Πρόκλῳ. Δεχόμεθα πᾶν ὅ,τι ἐξέθηκαν περὶ τῆς ὀρθῆς πίστεως εἰς κατάκρισιν τῶν αἱρετικῶν. Δεχόμεθα καὶ τοὺς ἄλλους ἁγίους καὶ ὀρθοδόξους Πατέρας, οἳ ἐν τῇ ἁγίᾳ τοῦ Θεοῦ Ἐκκλησίᾳ ἁγνῶς ἐκήρυττον τὴν ὀρθὴν πίστιν μέχρι τέλους τῆς ζωῆς αὐτῶν». Lab. Concil t. v. p. 435.

κλησίας ὡς Πατρός, ἀνάγκη ἀνελίττειν οὐ μόνον τὰ ἑλληνικά, ῥωμαϊκά, κοπτικά, καὶ συριακὰ Μηνολόγια, ἀλλὰ καὶ ἅπαντα τὰ μνημεῖα τῆς Ἐκκλησίας.

§ 7. *Περίοδος τῶν Πατέρων· διαφορὰ αὐτῶν καὶ διάκρισις ἀπ' ἄλλων προσώπων.*

Δύναταί τις ἄρά γε προσδιορίσαι τὸ ὅριον, οὗ πέραν οὐχ ὑπάρχουσι Πατέρες τῆς Ἐκκλησίας; Εἴ τι ἴσως ὡρίσθη, τοῦτό ἐστι μόνον ἐκεῖνο, ἐν ᾧ λαμβάνει πέρας ἡ ὕπαρξις τῆς στρατευομένης τοῦ Χριστοῦ Ἐκκλησίας. Ἄλλο δ' ὅριον οὐχ ὑπάρχει καὶ ὑπάρξαι ἀδύνατον. Τὸ ἅγιον Πνεῦμα ἀείποτε εὑρίσκεται ἐν τῇ Ἐκκλησίᾳ, ἀείποτε φωτίζει τά τε πνεύματα καὶ τὰς καρδίας τῶν πιστῶν, ἀείποτε ἐνεργεῖ ἐν τοῖς ἐκλεκτοῖς ἀνδράσιν, εἰ καὶ κατὰ τὰς ἀνάγκας τοῦ χρόνου. Διὰ τοῦτο καὶ ἡ πίστις ἐστὶ μία καὶ ἡ διδασκαλία μία, ὡς παρὰ τοῖς ἀρχαίοις διδασκάλοις καὶ παρὰ τοῖς νεωτάτοις «. . . πάλιν τὸν χρόνον ἀναμετρεῖν, λέγει ὁ ἅγιος Ἀθανάσιος, ἵνα μὴ δοκῶσιν οἱ προλαβόντες ἀφανίζειν τοὺς μετὰ ταῦτα γενομένους. Οἱ πάντες γάρ, καθ' ἃ προείρηται, Πατέρες εἰσί (1). Ὥσπερ ἡ Ἐκκλησία τοῦ Χριστοῦ ἔσται ὑπάρχουσα ἕως τῆς συντελείας τοῦ αἰῶνος, οὕτω ἕως τῆς συντελείας τοῦ αἰῶνος ἔσονται ἐμφανιζόμενοι ἐν ταῖς ἀνάγκαις αὐτῆς ἐκλεκτὰ ὄργανα τοῦ ἁγίου Πνεύματος. Ἐνεργοῦντος ἐν τῷ κόσμῳ τοῦ πνεύματος τοῦ κόσμου, τὸ Πνεῦμα τοῦ Θεοῦ παραχωρεῖ αὐτῷ μεταβάλλειν τοὺς σκοποὺς καὶ τὰ μέσα αὐτοῦ· ἀλλὰ συνάμα πέμπει τὴν ἰσχυρὰν αὐτοῦ βοήθειαν συνῳδὰ ταῖς τοῦ χρόνου ἀνάγ-

---

(1) Περὶ τῶν γενομέν. ἐν τῇ Ἀριμίνῳ τῆς Ἰταλ. καὶ ἐν Σελευκ. τῆς Ἰσαυρίας συνόδων.

καις. Τῇ δυνάμει αὐτοῦ ἡ ποιότης καὶ ἡ δωρεὰ τῶν ἐκλεκτῶν ἀνδρῶν καθαίρονται καὶ βελτιοῦνται ἐν ταῖς θλίψεσι τοῦ χρόνου, λαμβάνουσιν ἐκπαίδευσιν σύμφωνον τῷ χρόνῳ καὶ ἐκεῖνα τὰ μέρη τῆς παραδεδομένης τῇ Ἐκκλησίᾳ ἀληθείας, ἅτινα διὰ τὴν πτῶσιν τοῦ πνεύματος τοῦ χρόνου, αἰτοῦσι καθαρωτέραν ἔκθεσιν καὶ βεβαιοτέραν πληροφορίαν, λαμβάνουσιν ἀμφότερα ταῦτα ἐκ τῶν πονημάτων τῶν ἐκλεκτῶν τῆς Ἐκκλησίας διδασκάλων. Ἐν ἅπασι τοίνυν τοῖς αἰῶσι δύνανται εἶναι ἄνδρες ἔχοντες τὰς παρὰ τῶν ἐκκλησιαστικῶν Πατέρων αἰτουμένας ἰδιότητας, αἱ δὲ γνῶμαι τῶν ὁριζόντων ὅτε μὲν τὸν ἕκτον, ὁτὲ δὲ τὸν δέκατον τρίτον αἰῶνα ὡς ὅριον τῆς τῶν Πατέρων ἐμφανίσεως οὐδεμιᾶς ἔχονται ὀρθότητος.

Πάντες ἆρά γε οἱ Πατέρες τῆς Ἐκκλησίας ἦσαν κεκοσμημένοι τοῖς αὐτοῖς πλεονεκτήμασι; Βεβαίως πάντες ἐνήργουν ὑπὸ τὴν ἐπιρροὴν ἑνὸς καὶ τοῦ αὐτοῦ Πνεύματος, καὶ ἐξετίθεσαν μίαν καὶ τὴν αὐτὴν ἀλήθειαν τοῦ Χριστοῦ. Ἀλλὰ τὸ Πνεῦμα τοῦ Θεοῦ ἐνήργει διὰ τῶν ἐκλεκτῶν αὐτοῦ τὸ μὲν κατὰ τὸ μέτρον τῶν ἀναγκῶν τοῦ χρόνου, τὸ δὲ κατὰ τὰς διαθέσεις τῶν διδασκάλων. Ἐντεῦθεν ὑπάρχουσι διαφοραὶ ἐν τοῖς ἐκκλησιαστικοῖς Πατράσι. Οἱ πρῶτοι τοῦ χριστιανισμοῦ χρόνοι διαπρέπουσι τῷ πλούτῳ τῶν πνευματικῶν δωρεῶν. Οἱ διδάσκαλοι τῶν χρόνων ἐκείνων εἶχον τὸ πλεονέκτημα, ὅπερ οὐκ εἶχον ἕτεροι,-δηλ. ἦσαν ἐγγὺς τῶν θεοπνεύστων κηρύκων τῆς ἀληθείας. Ἐν τοῖς ἑπομένοις χρόνοις τὸ Πνεῦμα τοῦ Θεοῦ μετεδίδου τὰς δωρεὰς αὐτοῦ οὐκ ἐν τοιούτῳ μέτρῳ· ἡ πεῖρα τῶν παρελθόντων αἰώνων ἐγίγνετο τοῖς ἑπομένοις διδάσκαλος, καὶ τὰ φυσικὰ βοηθήματα τοῦ ὑποτασσομένου τῇ πίστει λογικοῦ καθίσταντο ἀναγκαιότερα. Τὸ Πνεῦμα τοῦ Θεοῦ οὔτε ἐν τού-

τῳ τῷ διδασκάλῳ ἐνεργοῦν ἀνυπερβλήτως, οὔτε ἐν τῷ ἑτέρῳ καταστρέφον τὰς ἀτομικὰς δυνάμεις καὶ δωρεάς, παρεῖχεν αὐτοῖς, ὡς ἀείποτε καὶ ἰδίως μετὰ τοὺς πρώτους τοῦ χριστιανισμοῦ χρόνους, κατὰ τὸ μέτρον τῆς προκοπῆς ἐν τῷ πνευματικῷ βίῳ καὶ τοῦ φωτισμοῦ τοῦ νοῦ ἑκάστου, διάφορα βοηθήματα τοῦ γενέσθαι μεγάλους καὶ διαπρεπεῖς. Ἐντεῦθεν συνέβαινεν, ὥστε ἐν ἑνὶ καὶ τῷ αὐτῷ χρόνῳ ἐμφανίζεσθαι πολλοὺς μεγάλους ἄνδρας τῆς Ἐκκλησίας· Ἀλλ' ὁ μὲν τούτων ἦν μέγας ὑπὸ ταύτην τὴν ἔποψιν, ὁ δὲ ἕτερος ὑπ' ἄλλην, ἐκεῖνος εἶχεν ἐν ἰδιαζούσῃ ἀφθονίᾳ τοσαύτας γνώσεις, ὅσαι οὐχ ὑπῆρχον ἐν τῷ ἑτέρῳ. Κατὰ τὰς ἰδιότητας ταύτας διέκρινον τοὺς Πατέρας τῆς Ἐκκλησίας καὶ οἱ σύγχρονοι αὐτοῖς καὶ οἱ μετὰ ταῦτα αἰῶνες.

Ἐκ τῶν οὐσιωδῶν χαρακτήρων τῆς ὑψηλῆς τῶν Πατέρων ἰδιότητος δυνάμεθα γιγνώσκειν αὐτοὺς καὶ διακρίνειν ἄλλων προσώπων μᾶλλον ἢ ἧττον σεβαστῶν ἐν τῇ ἱστορίᾳ. Ἐπειδὴ ὁ οὐσιωδέστατος χαρακτὴρ τοῦ Πατρὸς τῆς Ἐκκλησίας ἐστὶν ὁ ἀποβλέπων οὐ μόνον εἰς τοὺς συγχρόνους, ἀλλὰ καὶ εἰς τοὺς ἐπομένους αἰῶνας, δηλαδὴ ἡ δύναμις τοῦ λόγου αὐτοῦ ἡ ἀναγεννῶσα πρὸς τὸν πνευματικὸν βίον, παράδοξον φαίνεται ὁρᾶν ἐν τῷ ἀριθμῷ αὐτῶν ἄνδρας οὐδὲν καταλιπόντας σύγγραμμα δυνάμενον συντελεῖν εἰς τὴν πρὸς τὸν πνευματικὸν βίον ἀναγέννησιν (¹). Ἐκεῖνοι δὲ οἱ

(¹) Τὸ παράδοξον τοῦτο ὁρῶμεν παρὰ τῷ Περμανεδέρῳ, τιθέντι ἐν τοῖς Πατράσι πολλοὺς πάπας, ὡς π. χ. τὸν Σιρίκιον, Ἰωάννην τὸν Α΄., τὸν Βονιφάτιον, τὸν Σιμπλίκιον (Patrol. P. I. p. 20. 22. 29. 30. 33.), καίπερ καὶ γράφειν ἴσως οὐκ ἐπισταμένους. Ὁ αὐτὸς τάσσει ἐν τοῖς ἐκκλησιαστικοῖς συγγραφεῦσι καὶ οὐκ ἐν τοῖς Πατράσι τὸν ἅγιον Σωφρόνιον τὸν Π., τὸν ὅσιον Θεοφάνην, τὸν ἅγ. Νικηφόρον τὸν Π. Τὰ παράδοξα ταῦτα προέρχονται ἐκ τοῦ ὅτι οὐχ ὁρίζουσιν ἀκριβῶς τὰ οὐσιώδη χαρακτηριστικὰ τῶν Πατέρων τῆς Ἐκκλησίας.

ἀρχαῖοι διδάσκαλοι, ἐν οἷς ἡ ἱστορία οὐχ εὗρεν ἰδιαζούσας ἀρετάς, τὰ δὲ συγγράμματα αὐτῶν οὐ δεικνῦσι τὴν προσέγγισιν τοῦ νοῦ αὐτῶν τῷ τοῦ Χριστοῦ, δικαίως δύνανται κληθῆναι μόνον ἐκκλησιαστικοὶ συγγραφεῖς, ἀλλ' οὐ Πατέρες. Τὰ συγγράμματα αὐτῶν δύνανται ἔχειν σπουδαιότητα, ὡς μαρτυρίαι περὶ τῶν ἰδεῶν τῆς Ἐκκλησίας τῶν διαφόρων χρόνων, ἀλλ' αἱ ἐλλείψεις ἐν τῇ καθαρότητι τοῦ βίου καὶ τοῦ νοῦ δεικνῦσιν, ὅτι ὀλίγον ἰσχύουσιν ἀναγεννῆσαι τοὺς ἄλλους ἐν τῷ πνευματικῷ βίῳ, ἅτε μὴ ἀναγεννηθέντες αὐτοὶ παντελῶς ἐν αὐτῷ. Μὴ ἀμνημονήσωμεν δέ, ὅτι ὡς πρός τινα πρόσωπα τῆς Ἐκκλησίας οὐχ ἱκανὸς εἰσέτι παρῆλθε χρόνος, ὅπως γένηται γνωστὴ ἡ περὶ αὐτῶν θέλησις τοῦ Θεοῦ, τοῦ δοξάζοντος τοὺς ἁγίους αὐτοῦ κατὰ τὴν ἰδίαν εὐδοκίαν. Διὰ τοῦτο, εἰ αἱ ὑψηλαὶ ἰδιότητες ἐπισήμων προσώπων, ἡ ὑψηλὴ αὐτῶν ἐκπαίδευσις καὶ ὁ ἀσκητικὸς βίος, οὐδεμιᾷ ὑπόκεινται ἀμφιβολίᾳ, καὶ ἔχουσι τὸ σέβας τῆς Ἐκκλησίας, εἰ καὶ οὐκ εἰσιν ἐν τῷ ἀριθμῷ τῶν ἁγίων, οὐ δυνάμενοι ἄνευ τοῦ θελήματος τοῦ Πνεύματος τοῦ Θεοῦ καλεῖν αὐτοὺς ἁγίους Πατέρας, ὀφείλομεν ὁμολογεῖν αὐτοὺς ἐπισημοτάτους διδασκάλους τῆς Ἐκκλησίας· ἄλλως, ἑπόμενοι τῷ παραδείγματι τῆς Ἐκκλησίας, ὀφείλομεν καλεῖν αὐτοὺς μακαρίους διδασκάλους, μακαρίους Πατέρας καὶ κατατάσσειν αὐτοὺς μετὰ τοὺς ἁγίους Πατέρας. Τοιοῦτοι π. χ. ὁ Πατριάρχης Φώτιος, Θεοφύλακτος ὁ Βουλγαρίας, καὶ Μάρκος ὁ Ἐφέσου.

§ 8. *Διδασκαλία περὶ τῶν Πατέρων τῆς Ἐκκλησίας· ἰδιάζοντα αὐτῇ ἀντικείμενα· βίος τῶν Πατέρων· ἐπιθεώρησις τῶν συγγραμμάτων.*

Γνωρίσαντες οὕτω τὴν ὑπόθεσιν, περὶ ἣν ὀφείλει ἀσχο-

λεῖσθαι ἡ περὶ τῶν Πατέρων τῆς Ἐκκλησίας ἱστορικὴ διδασκαλία, ῥαδίως δυνάμεθα νῦν ἐννοῆσαι καὶ αὐτὴν τὴν διδασκαλίαν. Ἡ περὶ αὐτῶν ἱστορικὴ διδασκαλία προστίθησι γνώσεις περὶ ἐκείνων τῶν διαδόχων τῆς ἀποστολικῆς κλήσεως, οἵτινες διά τε τὰς δωρέας τοῦ θεοφωτίστου νοῦ καὶ τὴν πολλὴν τῆς ψυχῆς καθαρότητα ἠδύναντο καὶ ἐβούλοντο ἐκτιθέναι, καὶ ἤδη ἐξέθηκαν ἐν τοῖς ἑαυτῶν συγγράμμασι τὴν χριστιανικὴν διδασκαλίαν.

Τὸ πρῶτον τῇ διδασκαλίᾳ ταύτῃ ἰδιάζον ἀντικείμενον, τῇ καὶ ἄλλως καλουμένῃ Πατρολογίᾳ, ἐστὶν ὁ βίος τοῦ Πατρός. Διὰ τοῦ βίου τοῦ συγγραφέως σαφηνίζονται τὰ συγγράμματα αὐτοῦ. Τὰ ἐξωτερικὰ περιστατικὰ καὶ αἱ ἐσωτερικαὶ διαθέσεις αὐτοῦ δηλοῦσιν οὐ μόνον τὸν ἴδιον χαρακτῆρα διὰ τῆς ἐκθέσεως τοῦ συγγράμματος, ἀλλ᾽ ἐνίοτε ὁρίζουσι καὶ τὸ περιεχόμενον τοῦ συγγράμματος. Ὁ γενικὸς οὗτος κανὼν ἐν τῇ ὑποτιθεμένῃ τῶν Πατέρων ἐξαρτήσει ἀπὸ τῶν ἐνεργειῶν τῆς χάριτος ἐκτείνεται καὶ ἐπ᾽ αὐτούς. Ἐκτὸς δὲ τούτου ἡ εἰκὼν τοῦ βίου συνίστησιν, ὡς εἴδομεν, τὴν κλῆσιν τῶν Πατέρων τῆς Ἐκκλησίας, καὶ ἑπομένως ὁ βίος τοῦ Πατρὸς οὐ δύναται μένειν ἄνευ προσοχῆς ἐν τῇ Πατρολογίᾳ. Ἀλλὰ ά.) τὰ μερικὰ περιστατικὰ τοῦ βίου εἰσέρχονται εἰς τὸ σύστημα τῆς περὶ τῶν Πατέρων διδασκαλίας, ἐφ᾽ ὅσον ταῦτα συνάπτονται μετὰ τοῦ κυρίου χαρακτῆρος αὐτῶν ὡς διδασκάλων τῆς Ἐκκλησίας. Διὰ τοῦτο αἱ πράξεις καὶ τὰ περιστατικά, τὰ ἔχοντα οὐ μόνον ἀναφορὰν πρὸς τὸν βίον τοῦ διδασκάλου, ἀλλὰ καὶ ἐπιῤῥοὴν ἐπὶ τῶν συγγραμμάτων αὐτοῦ, ὀφείλουσι θεωρεῖσθαι ὡς ὑπόθεσις ἐξαιρέτου προσοχῆς ἐν τῇ Πατρολογίᾳ, καὶ τἀνάπαλιν τὰ μείναντα ἄνευ ἴχνους διὰ τὴν κλῆσιν αὐτοῦ δύνανται παραδίδοσθαι τῇ λήθῃ· β΄) ἐπειδὴ ἐν τοῖς Πα-

τράσι τῆς Ἐκκλησίας ἐστὶ διάκρισις, ὁριζομένη ἐκ τῶν προσωπικῶν αὐτῶν ἰδιοτήτων καὶ πλεονεκτημάτων, ἐν τῇ περὶ τῶν Πατέρων ἱστορικῇ διδασκαλίᾳ, ἀναγκαῖον στρέψαι τὴν προσοχὴν εἰς τὰ χαρακτηριστικὰ γνωρίσματα τοῦ βίου καὶ τῆς διδασκαλίας, τὰ διακρίνοντα αὐτοὺς ἀπ' ἀλλήλων. Ἡ ἱστορία τῶν προσώπων ἄνευ τῶν ἀτομικῶν χαρακτήρων οὐκ ἔστιν ἱστορία προσώπων, ἀλλ' οἷον ἀχρωμάτιστος διαζωγράφησις ἀγνώστου τινὸς προσώπου. Ἐν δὲ τῇ ἱστορίᾳ τῶν Πατέρων διὰ τῶν προσωπικῶν ἰδιοτήτων καὶ πλεονεκτημάτων ὁρίζεται ἡ σπουδαιότης τοῦ διδασκάλου ἐν τῇ χορείᾳ τῶν ἄλλων διδασκάλων, καὶ σαφηνίζονται τὸ μέτρον καὶ τὸ εἶδος τῆς ἐπιρροῆς αὐτῶν ἐπὶ τῶν ἄλλων·

γ'.) μὴ ἐπιλαθώμεθα καὶ τούτου, ὅτι αἱ μὴ ἀξιόπιστοι μαρτυρίαι περὶ τῶν ἱστορικῶν προσώπων, ὅσον καὶ ἂν ὦσι μεγαλοπρεπεῖς, οὐδὲν λέγουσι περὶ τῆς δόξης αὐτῶν· Αἱ τοιαῦται μαρτυρίαι προσβάλλουσι μόνον τὸ αἴσθημα τῆς ἀληθείας, ἐν ᾧ αὐτὴ ἡ ἀλήθεια μόνη ἀρκεῖ πρὸς τὴν δόξαν τῶν μεγάλων ἀνδρῶν. Ἡ ἀξία τῆς ἱστορικῆς ἐπιστήμης ἀπαιτεῖ, ἵνα αἱ μαρτυρίαι αὐτῆς ὦσιν οὐ μόνον ἀξιόπιστοι, ἀλλὰ καὶ ἀκριβεῖς. Διὰ τοῦτο ἐν τῇ περὶ τῶν Πατέρων διδασκαλίᾳ αἱ περὶ τοῦ βίου αὐτῶν εἰδήσεις ὀφείλουσι περιβάλλεσθαι πισταῖς μαρτυρίαις, ἵνα μὴ ἐξελέγχωνται ὡς ἀμφίβολοι καὶ ἐξ εὐπιστίας προερχόμεναι.

Μετὰ τὴν βιογραφίαν τοῦ Πατρὸς ἐπέρχεται, ὡς εἰκός, ἡ ἐπιθεώρησις τῶν συγγραμμάτων αὐτοῦ. Τοῦτο δῆλον ἐκ τῆς περὶ τοῦ Πατρὸς τῆς Ἐκκλησίας ἐννοίας. Ἡ ἐπιθεώρησις τῶν συγγραμμάτων αὐτοῦ ὀφείλει καταδεῖξαι τὰ εἴδη, εἰς ἃ ταῦτα ἀνάγονται. Ἡ τοιαύτη διαίρεσις τῶν συγγραμμάτων ἤδη αὐτὴ καθ' ἑαυτὴν δείκνυσι τί δύναταί τις μαθεῖν παρὰ τῷ διδασκάλῳ, καὶ τί ἀδύνατον εὑρεῖν παρ'

αὐτῷ. Εἰ ἐν τῇ περὶ τῶν Πατέρων τῆς Ἐκκλησίας διδασκαλίᾳ ἐποιούμεθα μόνον περίληψιν τῶν συγγραμμάτων αὐτῶν, τοῦτο οὐδ' αὐτῇ τῇ ἁπλῇ περιεργείᾳ ἤρκει ἄν. Οἱ Πατέρες τῆς Ἐκκλησίας συνέγραψαν οὐ πρὸς ματαίαν περιέργειαν, ἀλλὰ πρὸς οἰκοδομὴν τοῦ νοῦ καὶ τῆς καρδίας ἐν τῇ σωτηρίᾳ. Ἐντεῦθεν συνῳδὰ τῇ ἀξίᾳ τῶν συγγραμμάτων αὐτῶν ἀνάγκη κατευθῦναι τὴν προσοχὴν καὶ εἰς τὴν ἀξίαν κατ' ἐξοχὴν ἐκείνων, ἅτινα ἀφ' ἑαυτῶν χαρακτηρίζουσιν. Ἰδίᾳ δὲ ἐν τῇ ἐπιθεωρήσει τῶν τῆς Γραφῆς ἑρμηνειῶν τῶν Πατέρων ἀδύνατον, ὡς δῆλον ἐκ τοῦ εἴδους τοῦ συγγράμματος, ποιεῖν λεπτομερῆ ἔκθεσιν τοῦ ἐν αὐτοῖς περιεχομένου. Ἐνταῦθα δεῖ δείκνυσθαι τὸ πνεῦμα καὶ τὴν τάσιν τοῦ ἑρμηνευτοῦ, τὰ μέσα, ἃ κατεῖχε πρὸς τὴν ἑρμηνείαν, καὶ τὴν ἐν τῷ ἔργῳ ἐπιτυχίαν αὐτοῦ. Αὐτὸ τοῦτο ἀνάγκη γίγνεσθαι καὶ ἐν τῇ ἐπιθεωρήσει τῶν ῥητορικῶν συγγραμμάτων. Ὅτε δὲ πρόκειται, ἵνα ἔν τινι προσώπῳ ἀποδειχθῇ ὁ διδάσκαλος τῆς πίστεως καὶ τῆς εὐσεβείας, ἀναγκαῖον δεῖξαι τὴν ὑπόθεσιν καὶ τὰς ἰδιότητας τῶν σπουδαιοτάτων αὐτοῦ συγγραμμάτων. Τί δὲ ποιητέον, ὅτε δεῖ ἐπιθεωρεῖν τὰς συντόμους ἐννοίας, τὰς διδασκαλίας, τὰς ὁμιλίας, καὶ τὰς ἐπιστολὰς τῶν Πατέρων; Ὑποβάλλειν ἕκαστον αὐτῶν εἰς λεπτομερῆ ἀνάλυσίν ἐστι λίαν δυσχερές, καὶ σύναμα ἀνωφελές. Τοῦτο οὐ δύναται διαλευκᾶναι τὸ πνεῦμα τοῦ διδασκάλου, ἀλλὰ μόνον ἐπισκιάζει τὴν εἰκόνα αὐτοῦ διὰ πολλῶν, ἀλλ' οὐχὶ καὶ σπουδαίων λεπτομερειῶν. Πρὸς κατάληψιν τοῦ πνεύματος τοῦ συγγραφέως τούτων ἀρκετὸν ἡμῖν ἐκθεῖναι ἐν ἀκριβεῖ τάξει τὴν ἐν ἅπασι τοῖς συγγράμμασιν αὐτοῦ ἀπαντῶσαν διδασκαλίαν, χρωμένοις ἐπὶ λέξεως λόγους τοῦ διδασκάλου, ἢ ἐκλέγειν τοιαῦτα χωρία, ἅτινα ἰδίᾳ δηλοῦσιν ἀφ' ἑαυτῶν τὸ πνεῦμα αὐτοῦ.

§ 9. *Ἀξία τῆς δογματικῆς διδασκαλίας τῶν Πατέρων ἐν τῇ Πατρολογίᾳ· ἔρευνα τῆς γνησιότητος τοῦ συγγράμματος.*

Λέγουσιν: «ὁ κύριος σκοπὸς τῆς Πατρολογίας ἐστὶν ἡ ἐξέτασις καὶ ἡ ἀνάπτυξις 1) τοῦ βίου ἑκάστου Πατρός, 2) τῶν συγγραμμάτων αὐτοῦ, καὶ 3) τῆς δογματικῆς αὐτοῦ διδασκαλίας» (1). Ἀλλὰ τὸ παριστάναι τὴν δογματικὴν τῶν Πατέρων διδασκαλίαν ὡς τοιοῦτον ἰδιάζον τῇ Πατρολογίᾳ μέρος, οἷον ἡ ἔρευνα τῶν συγγραμμάτων ἢ τοῦ βίου, ταὐτὸ καὶ τῷ μὴ κατανοεῖν τὴν ὑπόθεσιν αὐτῆς. Οἱ ἅγιοι Πατέρες τοσοῦτον ἐφρόντιζον περὶ τῆς καθαρότητος τῆς πίστεως διὰ τὴν Ἐκκλησίαν, ὅσον καὶ περὶ τῆς εὐσεβείας, προβαλλόμενοι αὐτὴν ἐνίοτε ἐν ταῖς διδασκαλίαις τῆς ἱστορίας, διὰ δὲ τὴν πίστιν καὶ τὴν εὐσέβειαν μετὰ ζήλου ἠσχολοῦντο περὶ τὴν διασάφησιν τῆς ἁγίας Γραφῆς. Ἐντεῦθεν ἡ περὶ τὴν δογματικὴν τῶν Πατέρων διδασκαλίαν κυρίως ἀσχολουμένη Πατρολογία, μὴ λαμβάνουσα ὑπ' ὄψιν τὴν ἑρμηνείαν τῆς Γραφῆς καὶ τὰ περὶ εὐσεβείας διδάγματα, διαστρέφει τὴν περὶ τῶν ἱερῶν τούτων ἀνδρῶν ἔννοιαν, καὶ παρίστησιν αὐτοὺς οὐχὶ ἐν τῇ ἀκριβεῖ αὐτῶν μορφῇ. Ἀφ' ἑτέρου δὲ μετὰ τὴν ἐπιθεώρησιν τοῦ περιεχομένου τῶν δογματικῶν συγγραμμάτων διεξιέναι ἰδιαιτέρως τὴν δογματικὴν τοῦ Πατρὸς διδασκαλίαν, ἐστὶ ταὐτὸ τῷ μὴ πιστῶς ἐκτιθέναι τὴν ὑπόθεσιν τῶν συγγραμμάτων, ἢ καὶ ἐπαναλαμβάνειν τὸ αὐτὸ δι' ἔνδειαν τῆς περὶ τὸ ἔργον ὀρθῆς κρίσεως. Ἡ δογματικὴ τοίνυν τῶν Πατέρων διδασκαλία ὀφείλει κατέχειν ἐν τῇ Πατρολογίᾳ ἐκείνην τὴν θέσιν, ἣν δείκνυσιν ἡ ὀρθὴ σκέψις. Ἡ διδασκαλία αὕτη διὰ τὴν σπουδαιότητα αὐτῆς

(1) Χριστιαν. Ἀνάγν. 1846. 7, 2 ἄρθρ. «Ἡ πατρολογία ὡς ἐπιστήμη ἐξεταζομένη».

λογιστέα πλείονος προσοχῆς ἀξία, ἢ οἱαδήποτε ἱστορικὴ ἔκθεσις· οὐδαμῶς δ' ὀφείλει ἐκβάλλειν πᾶσαν ἄλλην ὑπόθεσιν τῶν συγγραμμάτων τῶν Πατέρων, ἢ κατέχειν τοιαύτην τάξιν, οἵαν ὁ βίος τοῦ Πατρὸς τῆς Ἐκκλησίας.

Ἐν τῇ Πατρολογίᾳ, ἐκτὸς τοῦ βίου καὶ τῆς ἐπιθεωρήσεως τῶν συγγραμμάτων, ὑπάρχει καὶ ἕτερον ἀντικείμενον, ἐφέλκον δικαίως τὴν προσοχήν. Ἡ Πατρολογία ὡς ἱστορικὴ διδασκαλία ὀφείλει ἀναγνωρίζειν ὡς γνήσια τὰ συγγράμματα τοῦ Ἐκκλησιαστικοῦ Πατρὸς οὐκ ἄλλως, ἢ διὰ βεβαίων ἀποδείξεων. Ἡ ἔρευνα περὶ τῆς γνησιότητος καὶ ἀκεραιότητος τῶν ἀρχαίων συγγραμμάτων ἐστὶν ἔργον κυρίως τῆς κριτικῆς ἀρχαιολογίας. Ἀλλὰ καὶ ἡ Πατρολογία μετέβαλεν ἂν τὸν χαρακτῆρα τῆς ἱστορίας, εἰ πᾶν τὸ ὑπὸ τὸ ὄνομα Πατρός τινος φερόμενον σύγγραμμα παρεδέχετο ἀνεξετάστως ὡς γνήσιον αὐτοῦ πόνημα. Τοῦτο οὐκ ἐπιτρέπεται καὶ δι' ἄλλην σπουδαίαν αἰτίαν. Τὰ ὑποβολιμαῖα συγγράμματα, ἢ τὰ ὑποβολιμαῖα αὐτῶν χωρία, κοσμούμενα ὁτὲ μὲν ἐκ κακοβουλίας, ὁτὲ δὲ ἐξ ἁπλότητος, ὀνόμασι μεγάλων διδασκάλων, δύνανται μεταβαλεῖν τὴν περὶ αὐτῶν ἔννοιαν, καί, ὅπερ σπουδαιότερον, ῥίψαι τοὺς ἀπροσέκτους εἰς ἐπικινδύνους πλάνας. Διὰ τοῦτο ἡ Πατρολογία, ἵνα μὴ σφαλερὰν περὶ τοῦ Πατρὸς παρέχῃ ἔννοιαν, οὐδαμῶς ὀφείλει ἀποφεύγειν τὴν ἔρευναν τῆς γνησιότητος τῶν ἀρχαίων συγγραμμάτων. «Οἱ φιλομαθεῖς, λέγει ἡ ἑβδόμη οἰκουμενικὴ Σύνοδος, περὶ τὴν τῶν ἐκκλησιαστικῶν πραγμάτων ἑρμηνείαν, τοὺς ἑτέρως φρονοῦντας καὶ θέλοντας τὴν ἰδίαν δικαιοσύνην στῆσαι, καὶ τῇ τοῦ Θεοῦ ἀντιταχθῆναι, ἴσασι κιβδήλοις καὶ παρεγγράπτοις συγγράμμασιν ἰσχυριζομένους, ὡς νόθους ὄντας καὶ οὐ γνησίους υἱοὺς τῆς καθολι-

κῆς Ἐκκλησίας, ἀδελφοὺς δέξασθαι οὐ προσιέναι» (1). Οὐ μὴν ἀλλὰ τὰ προλεχθέντα περὶ τῆς ἐρεύνης τῆς γνησιότητος τῶν συγγραμμάτων προσδιορίζουσι καὶ τὰ ὅρια αὐτῆς τῆς ἐρεύνης.

§ 10. *Περίοδοι τῆς ἱστορίας τῶν* Πατέρων *καὶ γενικαί τινες παρατηρήσεις.*

Ἐκ τῆς περὶ τῶν Πατέρων τῆς Ἐκκλησίας ἐννοίας καταφαίνεται, ὅτι ἡ ἱστορία αὐτῶν διήκει μέχρις αὐτῶν τῶν ἐσχάτων χρόνων. Ὡς ἑκάστῳ αὐτῶν ὑπάρχουσιν ἰδιότητες, ὑφ' ὧν διακρίνονται ἀλλήλων, οὕτως ὑπάρχουσι διακρίσεις, δι' ἃς μία τάξις Πατέρων οὐδόλως ὁμοιάζει ἄλλῃ προγενεστέρᾳ εἴτε μεταγενεστέρᾳ τάξει τῶν διδασκάλων. Τὸ πνεῦμα τοῦ Θεοῦ ἐνήργει ἐν τῇ Ἐκκλησίᾳ, ὡς ἤδη ἐσημειώσαμεν, κατὰ τὰς ἀνάγκας τοῦ χρόνου. Ἐν τῇ ἱστορίᾳ τῶν Πατέρων αἱ διακρίσεις τῶν περιόδων αὐτῆς ὁρίζονται ἐν μέρει μὲν διὰ τῶν ἰδιαιτέρων ἀντικειμένων τῆς σπουδῆς τῆς ἀληθείας τοῦ Χριστοῦ, ἐν μέρει δὲ κατὰ τὸν ἰδιαίτερον τρόπον τῆς σπουδῆς. Ἄλλως αὗται ἐξαρτῶνται ἐκ τῶν περιστάσεων, αἵτινες ἀναγκάζουσι στρέφειν ἰδιαιτέραν προσοχὴν εἰς τὰς γνωστὰς ἀληθείας καὶ ἀρκεῖσθαι εἰς τὸ προσδιορισθὲν μέτρον τοῦ φωτισμοῦ. Οἱ Πατέρες τῆς Ἐκκλησίας οὐκ ἠδύναντο εἶναι οὕτως ἀλλότριοι τοῦ πνεύματος τῆς ἐποχῆς αὐτῶν, ὡς ἦσαν οἱ Ἀπόστολοι. Ἡ γενικὴ τάσις τῶν πνευμάτων καὶ τῶν ἠθῶν διήγειρεν ἐν τοῖς Πατράσιν ὁτὲ μὲν συμπάθειαν, ὁτὲ δὲ ἐναντίωσιν. Διὰ τοὺς ἁγίους σκοποὺς ἐποιοῦντο χρῆσιν τῶν ἀρίστων ἰδεῶν τῆς συγχρόνου αὐτοῖς φιλοσοφίας καὶ ἁπάντων τῶν μέσων τῆς

(1) Πρακτ. τῆς ζ'. οἰκουμ. Συν. ap. Labbeum tom. VII. p. 476.

συγχρόνου ἐκπαιδεύσεως. Εἰ δὲ ἐξήλεγχον γνωστὰς πλάνας καὶ ἁμαρτήματα, πρὸς τοῦτο διηγείροντο ἐξ ὅσων αὐτοὶ ἑώρων καὶ ἤκουον περὶ ἑαυτούς. Πλὴν δὲ τούτου ἡ προθυμία αὐτῶν εὑρίσκετο ἐν συνδέσμῳ οὐ μόνον μετὰ τῆς πορείας τῆς ἀνθρωπίνης μορφώσεως, ἀλλὰ καὶ μετὰ τῆς καταστάσεως τῶν πολιτικῶν κοινωνιῶν. Τούτου ἕνεκα μετὰ τὰς γονιμωτάτας ἐποχὰς κατὰ τὰ προϊόντα τοῦ θεοφωτίστου νοῦ ἀπαντῶσιν ἐποχαὶ ὀλίγον γόνιμοι, ἔνθα σπανίως μόνον ἐμφανίζονται ἔργα ἄξια τῶν μεγάλων τῆς Ἐκκλησίας διδασκάλων. Οἱ ἐχθροὶ τῆς Ἐκκλησίας προθύμως δεικνύουσι ταύτας τὰς ὀλίγον γονίμους ἐποχὰς πρὸς μομφὴν τῆς Ἐκκλησίας τοῦ Χριστοῦ. Ἔργον τῆς ἱστορίας τῶν Πατέρων ἐν τῇ διασαφήσει τῆς ὀλιγοκαρπίας ταύτης ἐστὶ τὸ δηλῶσαι τὴν κατάστασιν τῆς γενικῆς ἐκπαιδεύσεως τοῦ χρόνου ἐκείνου καὶ τὰς πολιτικὰς περιστάσεις, καὶ διὰ τούτου ἀποδεῖξαι, ὅτι ἀδίκως ἀποδιδοῦσι τῇ Ἐκκλησίᾳ ὅ,τι οὐκ ἀνήκει εἰς αὐτήν.

Ἐν τῇ ἱστορίᾳ τῶν Πατέρων τῆς Ἐκκλησίας διακρίνονται αἱ ἑξῆς περίοδοι· ἡ πρώτη περιλαμβάνει τοὺς ἀπὸ τοῦ 70ου μέχρι τοῦ 312ου ἔτ. Πατέρας, τοὺς πλησιεστάτους διαδόχους τῆς ἀποστολικῆς παραδόσεως, καὶ ἀγωνισαμένους κατ' ἐξοχὴν κατὰ τοῦ ἐθνισμοῦ καὶ τοῦ ἰουδαϊσμοῦ. Ἐνταῦθα διακριτέον τοὺς μαθητὰς τῶν Ἀποστόλων τῶν μετὰ τούτους διδασκάλων, οἳ διὰ τὴν προσέγγισιν αὐτῶν τοῖς Ἀποστόλοις καὶ τὸ παρ' αὐτῶν προσληφθὲν πνεῦμα μετὰ τοῦ ὀνόματος τῶν ἀποστολικῶν ἀνδρῶν κατέχουσιν ἐν τῇ Ἐκκλησίᾳ τὴν πρώτην μετὰ τοὺς Ἀποστόλους θέσιν. Ἡ δευτέρα περιλαμβάνει τοὺς ἀπὸ τοῦ 312ου μέχρι τοῦ 620ου ἔτ. ὑπερασπίσαντας κατὰ τῶν ἀνθρωπίνων αὐθαιρεσιῶν τὴν περὶ τοῦ Υἱοῦ τοῦ Θεοῦ καὶ τοῦ ἁγίου

Πνεύματος ἀποκαλυφθεῖσαν διδασκαλίαν. Ἐνταῦθα ὁ τέταρτος αἰὼν (312—420) διακρίνεται κατ' ἐξοχὴν ἁπάντων τῶν ἑπομένων. Οὗτός ἐστιν ὁ αἰὼν τῶν μεγίστων τῆς Ἐκκλησίας φωστήρων. Ἡ πολιτεία ἔδωκε τότε ἐλευθερίαν τῇ Ἐκκλησίᾳ, καὶ ὁ ὑψηλὸς φωτισμὸς ἐφάνη ὡς ἐπακολούθημα τῆς πρὸς τὸν χριστιανισμὸν πάλης τοῦ ἐθνισμοῦ. Κατὰ τὸν πέμπτον καὶ ἕκτον αἰῶνα ἤκμαζον ἤδη μαθηταὶ καὶ μιμηταὶ τοῦ χρυσοῦ αἰῶνος τῆς χριστιανικῆς παιδείας. Ἐν τῇ τρίτῃ περιλαμβάνονται οἱ ἀπὸ τοῦ 620—850 ἀκμάσαντες Πατέρες, οἷς ἀπέκειτο ὑπερασπίσαι τὰς παραδόσεις τῆς ἀληθείας κατὰ τῶν τότε ἀναφανέντων θρησκευμάτων καὶ τῶν εἰκονομάχων. Ἡ πρὸς τοὺς τελευταίους πάλη ἠνάγκασε στρέψαι τὴν προσοχὴν εἰς τὴν διάταξιν τῆς λειτουργίας, ἡνίκα ἡ βαρβαρότης κατέστρεφε πολλὰ τῶν φυτωρείων τῆς ἐκπαιδεύσεως. Ἐν τῇ τετάρτῃ (850—1450, ἢ μέχρι τῆς ἁλώσεως τῆς Κωνσταντινουπόλεως ὑπὸ τῶν Τούρκων), ἐγένετο ἡ πάλη πρὸς τὰς αὐθαιρεσίας τῆς Ῥώμης καὶ τοὺς Παυλικιανούς· Ὁ χρόνος οὗτος περιλαμβάνει τὴν βαθμηδὸν γενομένην παρακμὴν τῆς ἑλληνικῆς αὐτοκρατορίας, ἐξασθενησάσης ὑπό τε τῶν πολεμικῶν προόδων τοῦ ἰσλαμισμοῦ καὶ τῶν ἐχθρικῶν πράξεων τοῦ παπισμοῦ. Ἐν τῇ πέμπτῃ ἐμφανίζονται οἱ ἔλεγχοι κατὰ τῶν καὶ πάλιν ἀναγεννηθεισῶν αἱρέσεων τῶν πρώτων αἰώνων καὶ τῶν σχισματικῶν.

Ἡ γενικὴ ἐπιθεώρησις ἑκάστης περιόδου ἢ ἐποχῆς τῶν Πατέρων προηγητέα τῆς κατὰ μέρος σπουδῆς τῶν διδασκάλων. Τοῦτο δὲ συντελέσει ἔνθεν μὲν πρὸς τὴν ὀρθὴν κατάληψιν τῆς ἐνεργείας καὶ τῶν συγγραμμάτων τῶν Πατέρων, ἔνθεν δὲ πρὸς ἀπαλλαγὴν τῆς ἐν τῇ κατὰ μέρος σπουδῇ αὐτῶν συνεχοῦς ἐπαναλήψεως τῶν αὐτῶν τοῦ χρόνου

περιστατικῶν. Ἡ καθόλου ἐπιθεώρησις τῆς περιόδου ἢ ἐποχῆς ὀφείλει καταδεικνύναι τὰς ἀνάγκας τοῦ χρόνου, ὑφ' ὧν διηγείρετο ἡ προθυμία τῶν διδασκάλων τῆς Ἐκκλησίας καὶ τὰ μέσα τῆς μορφώσεως, ἅτινα παρεῖχεν ἡ σύγχρονος αὐτοῖς ἐποχή. Ἀλλὰ διὰ τὰς διαφόρους περιστάσεις ὀφείλει αὕτη κατὰ τὸ μέτρον τῆς ἀνάγκης διαγράφειν τὴν σύγχρονον τῆς Ἐκκλησίας κατάστασιν. Ἄμεσον δὲ τούτου ἐπακολούθημα ἔσται ὁ ὁρισμὸς τῆς σπουδαιότητος τῶν διδασκάλων τούτου τοῦ χρόνου.

§ 11. *Σπουδαιότης τῆς περὶ τῶν Πατέρων διδασκαλίας.*

Ἐκ τῶν ἀνωτέρω εἰρημένων γίγνεται κατάδηλος ἡ σπουδαιότης τῆς περὶ τῶν Πατέρων διδασκαλίας. Οἱ Πατέρες τῆς Ἐκκλησίας κατέλιπον ἐν τοῖς ἑαυτῶν συγγράμμασι καθαράν, σαφῆ, καὶ ἐμπρέπουσαν τῷ τε πνεύματι καὶ τῇ καρδίᾳ διδασκαλίαν περὶ τῆς πίστεως καὶ τοῦ ἁγίου βίου. Ἐκτὸς δὲ τῆς περὶ τῆς πίστεως διδασκαλίας καὶ τῆς ἐν τοῖς συγγράμμασιν αὐτῶν ἠθικῆς, εἰσὶ πολλαὶ σπουδαῖαι ἔρευναι περὶ θεωρητικῶν ζητημάτων, πολλαὶ γνώσεις διαφόρων ἐπιστημῶν, μεγάλη ἐν τῷ λόγῳ καὶ ἱερὰ τέχνη. Τούτων πολλοὶ κατὰ τὰς δωρεὰς τοῦ νοῦ καὶ τὰς γνώσεις ὑπερεῖχον ἁπάντων τῶν κατ' αὐτοὺς σοφῶν. Διὰ τοῦτο ἀπὸ τοῦ πέμπτου αἰῶνος ἤρξαντο ποιοῦντες ἐκλογὰς ἐκ τῶν συγγραμμάτων τῶν Πατέρων πρὸς κοινὴν ὠφέλειαν. Τῶν ἐκλογῶν τούτων αἱ μὲν περιεῖχον ἑρμηνείας εἰς τὴν ἁγίαν Γραφὴν (Catenae Patrum, Σειραί), αἱ δὲ τὰς γνώμας περὶ δόγματός τινος τῆς πίστεως, καὶ ἰδίως κατὰ τῶν Μονοφυσιτῶν ἢ τῶν Μονοθελητῶν. Ὁ ἅγιος Ἰωάννης ὁ Δαμασκηνὸς συνέταξεν ἱερὰ παράλληλα, συλλέξας χωρία ἐκ τῶν συγγραμμάτων τῶν Πατέρων, ἀνάλογα πρὸς τὰς ῥήσεις τῆς

ἁγίας Γραφῆς. Αἱ ἐκλογαὶ αὗται ἦσαν πάντως ὠφέλιμοι, ἀλλ᾽ ἐν τοῖς τεμαχίοις ἀδύνατον ἰδεῖν πάντοτε τὴν ἀκριβῆ τοῦ συγγραφέως ἔννοιαν· ἀπ᾽ ἐναντίας μάλιστα εὑρεῖν τινα ἀπᾴδοντα αὐτῇ ἐκεῖ, ἔνθα οὐδεμία οὐδαμῶς τοιαύτη ἐστὶ πρόθεσις τοῦ συγγραφέως. Ἐν τῇ ἑνότητι μόνον λαμβάνει τὸ νόημα σαφῆ καὶ ὡρισμένην μορφήν. Μετὰ τὴν ἀνάγνωσιν τῶν τεμαχίων μένουσιν ἄλυτα τὰ ζητήματα: ἀληθῶς ἆρά γε ἀνήκουσιν οἱ λόγοι εἰς ἐκεῖνον τὸν συγγραφέα, εἰς οὗ τὸ ὄνομα φέρονται; Ἆρά γε ἐν ἀκριβείᾳ ἐξηνέχθησαν; Ἐν τίσι περιστάσεσι καὶ διὰ τίνα αἰτίαν συνεγράφη τὸ σύγγραμμα; Τίς ὁ συγγραφεύς; μέχρι τίνος βαθμοῦ ἦν πεπαιδευμένος; Ἐντεῦθεν πολλῷ κάλλιον σπουδαστέα τὰ συγγράμματα τῶν Πατέρων ἐν αὐτοῖς αὐτῶν τοῖς συγγράμμασιν, ἢ ἐν τοῖς τεμαχίοις. Τοῦτο δὲ μόνον οὐχ ἅπασι δυνατόν, διότι οὐχ ἅπασι πρόσιται αἱ ἐκδόσεις τῶν πρωτοτύπων ὡς καὶ αἱ μεταφράσεις αὐτῶν. Ὅσος χρόνος ἀπαιτεῖται, ὅσος κόπος πρὸς ἀνάγνωσιν ἁπάντων τῶν συγγραμμάτων καὶ μόνον τοῦ Θείου Χρυσοστόμου! Τί δ᾽ ἂν εἴποι τις περὶ ἁπάντων τῶν συγγραμμάτων ἁπάντων τῶν Πατέρων τῆς Ἐκκλησίας; Τούτου ἕνεκα λυσιτελέστατον ἔργον ἐστὶν ἡ περὶ τῶν Πατέρων διδασκαλία, ἡ ὀλίγοις ἀφηγουμένη ἡμῖν ὅ,τι, τί, πότε καὶ πῶς ἐδηλώθη ὑπὸ τῶν ἐκκλησιαστικῶν Πατέρων, παρέχουσα ἁπάσας τὰς ἀναγκαίας γνώσεις περὶ ἑνὸς ἑκάστου καὶ περὶ τῶν συγγραμμάτων αὐτῶν, καὶ διαγράφουσα ὡς οἷόν τε ἀκριβῶς τὸ πνεῦμα καὶ τὸν σκοπὸν τοῦ διδασκάλου τῆς Ἐκκλησίας.

§ 12. *Βοηθήματα τῆς περὶ τῶν Πατέρων διδασκαλίας.*

Ὅσον σπουδαία καὶ ὠφέλιμός ἐστιν ἡ περὶ τῶν Πατέρων τῆς Ἐκκλησίας διδασκαλία, τοσοῦτον δυσχερὲς ἐκθεῖναι προσηκόντως ταύτην. Πρὸς τοῦτο χρεία πολλῶν καὶ ποικί-

λων γνώσεων. Μέχρι τοῦ δεῦρο οἱ σοφοὶ ἠδυνήθησαν ἐπεξεργάσασθαι ἐν τῇ Πατρολογίᾳ ὕλην τινά, συγγράψαντες βιβλία τινὰ ἢ διὰ τοὺς τρεῖς πρώτους αἰῶνας ([1]), ἢ διὰ τοὺς πρώτους ἓξ ([2]), ἀλλὰ πλήρης Πατρολογία οὔπω ἀνεφάνη. Μόνον τὰ περὶ τῆς ἐκκλησιαστικῆς φιλολογίας συγγράμματα δύνανται χρησιμεῦσαι ὡς βοήθημα πρὸς σπουδὴν τῶν Πατέρων τῆς Ἐκκλησίας. Ἰδοὺ τὰ ἄριστα αὐτῶν:

1) Μετὰ τὴν ἱστορίαν τοῦ Εὐσεβίου, ἐν ᾗ εἰσι γνῶμαι περί τινων διδασκάλων τῶν πρὸ αὐτοῦ χρόνων καὶ μνημονεύονται χωρία ἔκ τινων συγγραμμάτων τῶν Πατέρων, ὁ κατάλογος τῶν ἐκκλησιαστικῶν συγγραφέων — σύγγραμμα τοῦ μακαρίου Ἱερωνύμου — ἐστὶ τὸ πρῶτον βοήθημα. Ἐν αὐτῷ ἐκτίθενται 135 συγγραφεῖς τῶν πρώτων τεσσάρων αἰώνων καὶ τὰ συγγράμματα αὐτῶν. Τοῦτό ἐστι τὸ πρῶτον δοκίμιον, καὶ διὰ τοῦτο οὐχὶ τέλειον. Γεννάδιος ὁ Μασσαλιώτης καὶ Ἰσίδωρος ὁ ἐπίσκοπος τῆς ἐν Ἰσπανίᾳ Ἰσπάλεως προήγαγον τὸν κατάλογον τοῦ Ἱερωνύμου μέχρι τοῦ ζ' αἰῶνος. Ἀλλ' ἐκ τῶν πονημάτων αὐτῶν μικρὰ προσγίγνεται τῇ Πατρολογίᾳ ὠφέλεια,

([1]) *Lumperi* Histor. theologico-critica de vitis, scriptis S. Patrum, . . August. Vindel. 1784-99. tom. I-XIII.8. J. A. Moehler, Patrologie, oder christliche Literærgeschichte, ans dessem hinterlassenen Handschriften. Regensburg, 1840. Michaelis Permanederi, Bibliotheca Patristica, Tom. II, Landishuti, 1842 -- 44. 8. Vitus Anton. Winter, Kritische Geschichte der aeltesten Zeugen und Lehrer des Christenthums nach den Aposteln, oder Patrologie. München, 1814.

([2]) *Daniel Tobenz* instit. usus et doctr. Patrum, Vindob. 1779 ed auct. 1814. *Walih* Bibl. Patrist. ed nov. Jenae, 1834. *Locherer*, Lehrbuch der Patrologie. Mainz, 1837. *Annegarn* Handbuch d. Patrolog. Münster 1839. *Franz Wenzel Goldwitzer* Patrologie Verbunden mit Patristik. Bd. 2. Nürenberg, 1834.8. *Fessler* Institution. Patrolog. t. I. II. 1841.

τὸ μέν, διότι αἱ εἰδήσεις αὐτῶν εἰσι λίαν περιωρισμέναι, τὸ δέ, διότι ἀσχολοῦνται κυρίως περὶ τοὺς συγγραφεῖς τῆς Δύσεως (1).

2) Ἡ Βιβλιοθήκη τοῦ Π. Φωτίου ποιεῖται λόγον περὶ 300 σχεδὸν συγγραμμάτων (2). Ἐν αὐτῇ δείκνυσιν ὁ σοφὸς διδάσκαλος τὴν ὑπόθεσιν τοῦ συγγράμματος, ποιεῖται μνείαν περὶ τῆς ἀξίας αὐτοῦ, ἐνίοτε δὲ κρίνει καὶ περὶ τῆς γνησιότητος ἢ ἀκεραιότητος αὐτοῦ. Τοῦτο οὐκ ἔστι χρονολογικὴ ἐπιθεώρησις τῶν συγγραφέων, ἀλλὰ μόνον σημειώσεις περὶ τῶν ὑπὸ τοῦ πολυμαθεστάτου διδασκάλου ἀναγνωσθέντων συγγραμμάτων. Τὴν κριτικὴν αὐτοῦ διὰ τιμῆς ἔχουσιν ἅπαντες οἱ σοφοί.

3) Οἱ τῆς ῥωμαϊκῆς Ἐκκλησίας συγγραφεῖς ἠσχολήθησαν λίαν περὶ τὴν ἱστορίαν τῆς ἐκκλησιαστικῆς φιλολογίας: α) ὁ Ἠλίας Δουπῖνος ἐν τῇ νέᾳ βιβλιοθήκῃ τῶν ἐκκλησιαστικῶν συγγααφέων (3) περιγράφει διὰ ζωηρᾶς καὶ καταληπτῆς λέξεως ἐκτὸς τοῦ βίου αὐτῶν, τὴν ὑπόθεσιν καὶ τὴν ἀξίαν τῶν συγγραμμάτων. Ἡ κριτικὴ αὐτοῦ ἐστι τολμηρὰ καὶ ἀμερόληπτος ὡς πρὸς τὸν παπισμόν, ἐνίοτε δὲ σφαλερὰ ὑπ' ἄλλας ἐπόψεις. β) Ὁ Ρεμίγιος Κεϊλλίερος (Remy Ceillier) συνέγραψε γενικὴν ἱστορίαν τῶν ἱερῶν καὶ ἐκκλησιαστικῶν συγγραφέων (4), ὅπως ἀντιτάξῃ αὐτὴν πρὸς τὴν τοῦ Δουπίνου, ἣν ὄντως ἀναπληροῖ καὶ διορθοῖ ἐν πολλοῖς. Ἰδίως δ' ἐστὶν ἀξιοσημείωτος κατὰ τοῦτο, ὅτι δείκνυσι τὸ περιεχόμενον ἑκάστου σχεδὸν συγ-

(1) Τοὺς τρεῖς τούτους καταλόγους (τοῦ Ἱερωνύμου, τοῦ Γενναδίου, καὶ τοῦ Ἰσιδώρου) μετὰ κριτικῶν καὶ ἱστορικῶν σημειώσεων ἐξέδωκεν ὁ Φαβρίκιος: Biblioth. Ecclesiast. Hamburg. 1718.

(2) Phot. Bibl. gr. et. lat. cum scholiis A. Schotti, Genev. 1613. ed. nov. gr. exra. Bekeri, Berolini, 1824,

(3) Louis Ellies Du Pin, Nouvelle Biblioth. des auteurs ecclésiastiques . . Paris, 1686—1714 in 47 tom. 8.

(4) Remy Ceillier Hist. générale des auteurs sacrés et ecclésiastiques, Paris, 1724—1763 in 24 tom. 4.

γράμματος· ἀλλ' ὁ συγγραφεὺς ὑπολείπεται τοῦ Δουπίνου κατὰ τὰ πνευματικὰ πλεονεκτήματα.

4) Συγγράμματα τῶν Διαμαρτυρομένων: Καβέου ἱστορία τῶν ἐκκλησιαστικῶν συγγραφέων ([1]), ἡ ἐγράφη μετὰ ὑγιοῦς κριτικῆς, ἀλλ' οὐκ ἔστι πλουσία κατὰ τὰς μαρτυρίας. Οὐδίνου ὑπόμνημα περὶ τῶν ἀρχαίων τῆς Ἐκκλησίας συγγραφέων ([2]) μέχρι τοῦ ιζ' αἰῶνος, ὅπερ ἀναπληροῖ τὸν Καβέον, ἀλλὰ μετὰ κριτικῆς σφαλερᾶς, ἔνθα λαλεῖ ὡς Διαμαρτυρόμενος. Φαβρικίου ἑλληνικὴ βιβλιοθήκη ([3]), πολύτιμον σύγγραμμα ἰδίως ὡς πρὸς τοὺς διδασκάλους τῆς ἑλλην. Ἐκκλ. τοῦ ιζ' αἰῶνος καὶ τῶν ἑπομένων, περὶ ὧν πάνυ ὀλίγα λέγουσι πάντες οἱ ἄλλοι· ἀλλ' ἐνταῦθα ἀριθμοῦνται μόνον τὰ συγγράμματα.

5) Ἡ τοῦ Γαλλανδίου Βιβλιοθήκη τῶν Πατέρων ([4]), ἐκτὸς τῶν συγγραμμάτων τῶν Πατέρων, περιέχει ἱστορικὰς καὶ κριτικὰς εἰδήσεις περὶ τῶν Πατέρων καὶ τῶν συγγραμμάτων αὐτῶν. Τὸ αὐτὸ ἀπαντᾷ ἔν τισιν ἰδιαιτέραις ἐκδόσεσι τῶν συγγραμμάτων τῶν θείων Πατέρων.

6) Τὰ Μηνολόγια τοῦ Ροστοβίου ἱεράρχου Δημητρίου, πολλὰ ἐρανισαμένου ἐκ τοῦ σοφοῦ πονήματος τῶν Βολλανδιστῶν ([5]), εἰσὶν ἐξαίρετον βοήθημα πρὸς σπουδὴν τῶν Πατέρων τῆς Ἐκκλησίας, ἀλλὰ σχεδὸν πρὸς σπουδὴν μόνον τοῦ βίου αὐτῶν.

([1]) Cave Historia Literaria script. eccles. recogn. et emend. Basil. 1741. f.

([2]) Casimini Oudini, Commentar. de Script. eccles... Lipsiae, 1722 in 3 tom. f.

([3]) Alb. Fabric. Biblioth. gr... Hamb. 1790—1809. T. I.—XII. 4.

([4]) Andr. Galland. Bibl. vet. Patr. antiquor. Scriptor. Venet. 1755. T. 1—12. f. Supplem., Venet. 1781. f. Τὸ πόνημα τοῦτό ἐστιν ὠφελιμώτατον, ἀλλὰ δυστυχῶς οὐκ ἔλαβε πέρας μετὰ τὸν θάνατον τοῦ συγγραφέως. Ἀπὸ τοῦ 1845 ἤρξαντο ἐκδιδόντες ἐν Παρισίοις νέαν ἔκδ. τῶν Πατέρων (Patrologiae cursus completus) καὶ συγγραφέων τῆς Ἐκκλησίας μετὰ πλουσίων βοηθημάτων διὰ τὴν Πατρολογίαν, περιέχουσαν ἕως 300 τόμ. εἰς 8ον.

([5]) Bolland. et soc. Act. Sanct.... Antwerpiae 1643—1794. LIII. tom. f.



ΠΡΩΤΗ ΠΕΡΙΟΔΟΣ

ΠΡΩΤΟΝ ΤΜΗΜΑ

ΑΙΩΝ ΤΩΝ ΑΠΟΣΤΟΛΙΚΩΝ ΑΝΔΡΩΝ. ΓΕΝΙΚΗ ΕΠΙΘΕΩΡΗΣΙΣ.

---

§ 13. *Έννοια περὶ τῶν ἀποστολικῶν ἀνδρῶν· τὰ πρὸς ἐκπαίδευσιν αὐτῶν βοηθήματα.*

Ἐκεῖνοι, οἵ, διδαχθέντες τὴν εἰς Χριστὸν πίστιν παρ' αὐτῶν τῶν Ἀποστόλων, ἐκοινώνουν αὐτοῖς τῶν κόπων τοῦ εὐαγγελικοῦ κηρύγματος καὶ δι' ἐπιστολῶν ἐξήπλουν μεταξὺ τῶν ἀνθρώπων τὸ φῶς τῆς τοῦ Χριστοῦ ἀληθείας, καλοῦνται κατ' ἐξοχὴν *ἀποστολικοὶ ἄνδρες*, ὡς ἀκροαταὶ καὶ διάδοχοι τῶν Ἀποστόλων.

Οἱ ἀποστολικοὶ ἄνδρες εἶχον τοιαῦτα ἐκπαιδεύσεως βοηθήματα, οἷα οὐκ ἔστιν ἤδη εὑρεῖν κατὰ τοὺς μετέπειτα χρόνους.

α) Ἦσαν αὐτόπται τῶν ἀποστολικῶν ἔργων, τῶν ἐντυπωσάντων αὐτοῖς τὸ πνεῦμα τοῦ Χριστοῦ· ἦσαν τακτικοὶ ἀκροαταὶ τῆς ζώσης τῶν Ἀποστόλων διδασκαλίας, ἥπερ ἦν ἡ καθαρὰ πηγή, ἐξ ἧς ἠρύοντο ἑαυτοῖς τε καὶ τοῖς ἄλλοις τὸν πνευματικὸν φωτισμόν. «Καὶ ἃ ἤκουσας παρ' ἐμοῦ, ἔγραφεν ὁ Ἀπόστολος πρὸς τὸν ἑαυτοῦ μαθητὴν ἐπίσκοπον Τιμόθεον, ταῦτα παράθου πιστοῖς ἀνθρώποις, οἵτινες ἱκανοὶ ἔσονται καὶ ἑτέρους διδάξαι» (Τιμ. Β'. ϐ'. 2). Ὁ Τιμόθεος ἐξεπλήρου τὴν ἐντολὴν τοῦ Ἀποστόλου. Τοῦτ' αὐτό, ὅπερ γνωστὸν περὶ τοῦ διδασκάλου τῶν ἐθνῶν, λέγει ὁ ἅγιος Εἰρηναῖος καὶ περὶ τῶν λοιπῶν Ἀποστόλων καὶ ἰδίως περὶ τοῦ Ἰωάννου, πρὸς ὅν, ἅτε πλείονα χρόνον παρὰ τοὺς ἄλλους Ἀποστόλους μείναντα ἐπὶ τῆς γῆς, συνέρρεον οἱ πρεσβύτεροι ἀκροασόμενοι τῆς διδασκαλίας αὐτοῦ (1).

---

(1) Δεικνὺς τοῖς Οὐαλεντινιανοῖς, ὅτι ἐστὶ ψευδὴς ἡ διδασκαλία αὐτῶν, ἡ δὲ τῆς ἁγίας Ἐκκλησίας ἀληθής, γράφει: «Καὶ πάντες οἱ πρεσβύτεροι μαρτυροῦσιν, οἱ κατὰ τὴν Ἀσίαν Ἰωάννῃ τῷ τοῦ Κυρίου μαθητῇ συμβεβληκότες, παραδεδωκέναι ταῦτα τὸν Ἰωάννην. Παρέμεινε γὰρ αὐτοῖς μέχρι τῶν Τραϊανοῦ χρόνων. Quidam autem eorum nonsolum Joannem, sed etalios Apostolos viderunt, et haec eadem ab ipsis audierunt, et testantur de hujusmodi relatione (κατὰ αἱρέσ. βιβλ. ϐ' κεφ. 22).

Ὁ Εὐσέβιος (1), καὶ ὁ Ἱερώνυμος (2) λόγον ποιούμενοι περὶ τοῦ Πανταίνου ὡς διδασκάλου τοῦ ἐν Ἀλεξανδρείᾳ διδασκαλείου, λέγουσιν, ὅτι τοιοῦτοι διδάσκαλοι ἦσαν ἐκεῖ ἀπὸ τῶν χρόνων τοῦ ἁγίου Εὐαγγελιστοῦ Μάρκου. Τὸ δὲ λεγόμενον ὑπὸ τῶν συγγραφέων τούτων περὶ τοῦ ἁγίου Μάρκου, δηλ. ὅτι διαμένων ἐν Ἀλεξανδρείᾳ ἵδρυσεν, οὕτως εἰπεῖν, τὸ φυτώριον τῶν μεγάλων διδασκάλων, δικαίως δύναται λεχθῆναι καὶ περὶ πάντων τῶν Ἀποστόλων. Οἱ τόποι ἔνθα διέμενον καὶ ἐδίδασκον, ἐγίγνοντο διδασκαλεῖα καὶ φυτώρια τῶν ἀποστολικῶν ἀνδρῶν. Λέγοντες δέ, ὅτι οἱ ἀποστολικοὶ ἄνδρες ἐμάνθανον τὰς ἀληθείας τοῦ Χριστοῦ ἀπὸ τοῦ στόματος τῶν Ἀποστόλων, ὑποδεικνύομεν μόνον οἷον εἶχον κατ' ἐξοχὴν πλεονέκτημα, οὐχ ὅτι δὲ καὶ τῶν Γραφῶν ἠμέλουν. Τῷ αὐτῷ Τιμοθέῳ, ὃν ὁ Ἀπόστολος ὑπεμίμνησκε τὴν ἐκ στόματος διδασκαλίαν αὐτοῦ, παρήγγελλε: «*πρόσεχε τῇ ἀναγνώσει*» (Α'. δ'. 13. Β'. γ'. 14. 17).

6) Τελειοποιούμενοι ταῖς ἐκ στόματος καὶ διὰ γραφῆς διδασκαλίαις τῶν ἁγίων Ἀποστόλων ἐφωτίζοντο ἐσωτερικῶς τῷ πνεύματι τῆς χάριτος ἐν ἰδικῇ ἀφθονίᾳ. Ὁ Λόγος τοῦ Χριστοῦ, ὁ ἀποστολικὸς λόγος, μεταβαίνων τῇ ἐνεργείᾳ τῆς χάριτος εἰς τὴν ἐσωτερικὴν αὐτῶν ζωήν, καθίστατο ζῶν λόγος καὶ φῶς τοῦ Πνεύματος (Α'. πρὸς Τιμ. δ'. 7. 8. Ἰωάν. Α'. γ'. 24. δ'. 16), συντελῶν εἰς τὴν ἄφθονον ἔκχυσιν τοῦ πνεύματος τῆς χάριτος ἐπὶ τὰς διανοίας καὶ τὰς καρδίας αὐτῶν (Ἰωάν. Α'. δ'. 16. 6'. 27). Ὁ ἅγιος Ἰγνάτιος ἔγραφε πρὸς τοὺς Φιλαδελφεῖς: «Μάρτυς δέ μοι, δι' ὃν δέδεμαι, ὅτι ἀπὸ στόματος ἀνθρώπου οὐκ ἔγνων· τὸ δὲ Πνεῦμα ἐκήρυξέ μοι λέγον τάδε· χωρὶς ἐπισκόπου μηδὲν ποιεῖτε» (3). Οἱ ἀποστολικοὶ

(1) Ἐκκλ. ἱστορ. έ. 10. «Ἡγεῖτο δὲ τηνικαῦτα τῆς τῶν πιστῶν αὐτόθι διατριβῆς τῶν ἀπὸ παιδείας ἀνὴρ ἐπιδοξότατος, ὄνομα αὐτῷ Πάνταινος, ἐξ ἀρχαίου ἔθους διδασκαλείου τῶν ἱερῶν λόγων παρ' αὐτοῖς συνεστῶτος, ὃ καὶ εἰς ἡμᾶς παρατείνεται, καὶ πρὸς τῶν ἐν λόγῳ καὶ τῇ περὶ τὰ θεῖα σπουδῇ δυνατῶν συγκροτεῖσθαι παρειλήφαμεν».

(2) De vir. illustr. c. 36. «Pantaenus juxta quandam veterem in Alexandria consuetudinem, ubi a Marco Evangelista semper ecclesiastici fuere doctores, tantae prudentiae et eruditionis, tam in Scripturis divinis, quam in seculari literatura fuit».

(3) Ἐπ. πρὸς Φιλαδ. § 7.

ἄνδρες ἔζων, ὅτε τὸ πνεῦμα τῆς χάριτος ἰσχυρῶς κατέβαλλε τὴν ἐπιμονὴν τῶν ἀνθρώπων δι' ἰδίας ἀφθονίας σημείων καὶ θαυμάτων, καὶ πρὸς ταχεῖαν ἀποδοχὴν τῶν διδασκαλιῶν αὐτῶν περιεβάλλοντο τὴν δύναμιν τῶν θαυμάτων. Ἀλλὰ καί τοι δαψιλῶς ἐφωτίζοντο ὑπὸ τοῦ πνεύματος τῆς χάριτος, ἦσαν ὅμως μόνον μαθηταὶ τῶν Ἀποστόλων—καὶ ὅτε οἱ Ἀπόστολοι ἦσαν μαθηταὶ αὐτοῦ τοῦ Παρακλήτου Πνεύματος, ἠκροῶντο αὐτῶν, καὶ ἐφωτίζοντο ὑπὸ τῆς χάριτος μόνον κατὰ τὸ μέτρον τῆς ἐλευθέρας τῷ πνεύματι αὐτῆς προσεγγίσεως.—«Οὔτε γὰρ ἐγώ, οὔτε ἄλλος ὅμοιος ἐμοί, λέγει ὁ μαθητὴς τῶν Ἀποστόλων Πολύκαρπος, δύναται κατακολουθῆσαι τῇ σοφίᾳ τοῦ μακαρίου καὶ ἐνδόξου Παύλου· ὃς γενόμενος ἐν ὑμῖν, κατὰ πρόσωπον τῶν τότε ἀνθρώπων, ἐδίδαξεν ἀκριβῶς καὶ βεβαίως τὸν περὶ ἀληθείας λόγον»(1).

§ 14. *Ἀντικείμενα τῆς ἐνεργείας.*

Οἱ ἐχθροὶ πρὸς οὓς ἀπέκειτο τοῖς ἀποστολικοῖς ἀνδράσι μάχεσθαι, ἦσαν ὡς ἐπὶ τὸ πλεῖστον οἱ αὐτοί, πρὸς οὓς ἐμάχοντο καὶ οἱ Ἀπόστολοι. Ἡ διαστροφὴ τοῦ πνεύματος καὶ τῆς καρδίας περιήγαγε τὴν ἐθνικὴν θρησκείαν εἰς τὴν ἐσχάτην διαφθοράν, καὶ τὴν φιλοσοφίαν εἰς τὴν ἀμφιβολίαν περὶ τοῦ εἰ ἔστι δυνατὸν γινώσκειν τι. Καὶ ὅμως ἡ διαστροφὴ αὕτη ἦν ἡ ζωὴ τῶν ἐθνικῶν, ἠγάπων αὐτήν, καὶ διὰ τοῦτο οὐκ ἐβούλοντο παραδέξασθαι ἀντ' αὐτῆς ἑτέραν ζωήν. Οἱ Ἰουδαῖοι ἀπολέσαντες τὴν πίστιν καὶ τὴν εὐσέβειαν τῶν πατέρων αὐτῶν, ἠρκοῦντο ταῖς δεισιδαιμονίαις καὶ ἐν μέρει ταῖς συνηθείαις τῶν ἐθνικῶν. Ἡ διαστροφὴ τοῦ πνεύματος καὶ τῆς καρδίας, παραγαγοῦσα τὸν ἐθνισμὸν καὶ τὸν ἰουδαϊσμόν, οὐκ ἔστη μέχρι τούτου, ἀλλὰ καταστᾶσα ἡ ἀγαπητὴ ζωὴ τῶν λαῶν, ἐμάχετο πρὸς τὴν καθαρὰν ἀλήθειαν· οὐ θέλουσα δὲ ὑποχωρῆσαι αὐτῇ, ἐγέννησε τὸ μὲν πρῶτον παχυλὰς πλάνας, εἶτα δὲ πολυσχιδεῖς αἱρέσεις. Οὕτως ἐκήρυξαν πόλεμον τῇ χριστιανικῇ ἀληθείᾳ οἱ ἰουδαΐζοντες χριστιανοὶ καὶ οἱ συνάπτοντες τὴν ψευδώνυμον γνῶσιν (Α'. πρὸς Τιμ. ς'. 20, δ'. 7. γ'. 9) τοῦ ἀποκεκρυμμένου χριστιανισμοῦ πρὸς τὰς ἐννοίας

(1) Ἐπ. πρὸς Φιλιπ. § 3.

ὁτὲ μὲν τοῦ ἰουδαϊσμοῦ καὶ ἐθνισμοῦ, ὁτὲ δὲ τοῦ ἑτέρου τούτων. Εἰς τοὺς ἰουδαΐζοντας χριστιανοὺς ἀνῆκον οἱ Ἐβιωναῖοι καὶ οἱ Ναζωραῖοι—ἑρμηνεύοντες κατὰ γράμμα τὸν ἀρχαῖον νόμον, καὶ οὐδὲν πλέον ὁρῶντες ἐν τῷ Χριστῷ ἐκτὸς τοῦ ἁπλοῦ ἀνθρώπου ([1]). Πάντη ἀλλοῖα ἐδόξαζον α) οἱ Δοκηταί, παραδεχόμενοι ἐν τῷ Ἰησοῦ Χριστῷ, ὡς ἐν προσώπῳ ἀνωτέρῳ ἀνθρώπου, φανταστὸν μόνον σῶμα, ἀλλ' οὐκ ἀληθές ([2])· οἱ Ἐλκεσαῖοι ἢ Ἐλκεσαΐται, οὐ προσφέροντες ἰουδαϊκὰς θυσίας, ἀλλὰ παραδεχόμενοι τὴν περιτομὴν καὶ ὁμολογοῦντες τὸν Υἱὸν τοῦ Θεοῦ καὶ τὸ ἅγιον Πνεῦμα ὡς δυνάμει μόνον τοῦ Θεοῦ ([3])· γ) ὁ Κήρινθος, ὁ εἰσαγαγὼν ἐν Ἐφέσῳ γενεαλογίας (Α΄. πρὸς Τιμ. ά. 4), αἰῶνας καὶ ἡγούμενος τὸν ποιητὴν τοῦ κόσμου ἕνα τῶν αἰώνων, τὸν Ἰησοῦν ἄνθρωπον, τὸν Χριστὸν νέον αἰῶνα, κατελθόντα ἐπὶ τὸν Ἰησοῦν κατὰ τὸ βάπτισμα, ὅπως ἀναγγείλῃ τοῖς ἀνθρώποις τὸν ἄγνωστον Θεόν. Οὗτος ἐφαντάσθη τὴν ἀόρατον χιλιετῆ βασιλείαν τοῦ Μεσσίου ([4]). Ἡ ψευδὴς

([1]) Ἐπιφ. ἐν αἱρ. λ΄. «αὐτὸν δὲ μόνον (τὸν Χριστὸν) θέλουσιν εἶναι προφήτην καὶ ἄνθρωπον καὶ Υἱὸν Θεοῦ, καὶ Χριστόν, καὶ ψιλὸν ἄνθρωπον, ὡς προείπομεν, διὰ δὲ ἀρετὴν βίου ἥκοντα εἰς τὸ καλεῖσθαι Υἱὸν Θεοῦ». Εὐσέβ. γ΄. 27. «Αὐτὸν μὲν γὰρ αὐτὸν (τὸν Χριστὸν) καὶ κοινὸν ἡγοῦντο, κατὰ προκοπὴν ἤθους, αὐτὸν μόνον ἄνθρωπον δεδικαιωμένον, ἐξ ἀνδρός τε κοινωνίαν καὶ τῆς Μαρίας γεγεννημένον». Ὁ Ἱερώνυμος: «Dum volunt et judaei esse et Christiani, nec judaei sunt nec Christiani» (ep LXXXIX ad August). Οἱ Ἐβιωναῖοι ἐμίσουν τὸν Ἀπόστολον Παῦλον, ὡς τὸν κατ' ἐξοχὴν κήρυκα τῆς ζώσης πίστεως.

([2]) Ἰωάν. Α΄. ά. 1-3 δ΄. 2. Β΄. 7. Κλήμ. ὁ Ἀλεξ. Στρωμ. γ΄. 13. ὁ Θεοδώρ. αἱρετ. κακομυθ. ά. 8, ὁ Ἱερών. «Apostolis adhuc in saeculo superstibus, adhuc apud judaeam Christi sanguine recenti, phantasma Domini corpus asserebatur». adv. Lucif. T. 4. p. 2. p. 304. Οἱ μὲν τούτων ἔλεγον, ὅτι ἀντὶ τοῦ Χριστοῦ ἔπαθε Σίμων ὁ Κυρηναῖος. (Εἰρην. κατὰ αἱρ. ά. 24. Ἐπιφάν. αἱρ. κδ΄. 3), οἱ δέ, ὅτι ἔπαθε Ἰούδας ὁ Ἰσκαριώτης (Εὐαγγ. Βαρν. in Fapric. cod. Apocr. T. 3. p. 377).

([3]) Ἐμορφώθησαν ἐκ τῶν Ἐσσαίων ἐν τοῖς χρόνοις τοῦ Τραϊανοῦ (Ἐπιφ. αἱρ. ιθ΄.). Ὁ ἀρχηγὸς αὐτῶν ἐκαλεῖτο Ἡλξαΐ=δύναμις ἀποκεκαλυμμένη. Εὐσέβ. ἐκκλ. ἱστ. ϛ΄. 38. Θεοδώρ. αἱρ. κακομυθ. Β΄. κεφ. 7.

([4]) Neander K. G. H. 445—450.

γνῶσις ἐπειράθη ἐγγὺς γενέσθαι ὁτὲ μὲν τῆς ἀλεξανδρινῆς προβολῆς (emanationis), ὁτὲ δὲ τοῦ περσικοῦ δυϊσμοῦ (dualismi) σὺν ταῖς ἀποκεκαλυμμέναις ἰδέαις πρὸς ἐξήγησιν τῆς γενέσεως τοῦ κακοῦ ἐν τῷ κόσμῳ. Ὁ Μαρκίων (1), παραδεχόμενος ἀρχὴν ἀγαθὴν καὶ κακήν, ἐθεώρει τὸν ἄσαρκον Χριστὸν ὡς καθαιρέτην παντὸς τοῦ κακοῦ, ἐν ᾧ ὁ Βασιλείδης (2) καὶ ὁ Οὐαλεντῖνος (3), τὸ ἐπ' αὐτῷ ἑκάτερος, παρεδέχοντο τὴν ἐκ τῆς πρώτης ἀρχῆς προβολὴν τῶν αἰώνων, τιθέντες μεταξὺ αὐτῶν τὸν λόγον καὶ τὸ Πνεῦμα.

Τοιοῦτον ἦν τὸ πλῆθος τῶν ψευδῶν χριστιανῶν, πρὸς οὓς ἀπέκειτο τοῖς ἀποστολικοῖς ἀνδράσι μάχεσθαι ἐν μέσῳ πάλης πρὸς φανεροὺς ἐχθροὺς—τοὺς Ἰουδαίους καὶ ἐθνικούς.

(1) Ἐγεννήθη ἐν Σινώπῃ τοῦ Πόντου περὶ τὸ 148ον ἔτος. Ἠκροάσατο ἐν Ῥώμῃ τοῦ ἐξ Ἀντιοχείας Κέρδωνος, ἀλλ' ἔπλασε νέας ἰδίας φαντασίας. Παρὰ τῷ Κέρδωνι δύο ἀρχαί: ὁ Χριστὸς μετὰ τῆς κατὰ φαντασίαν σαρκός ἐστιν ὁ καθαιρέτης τοῦ κακοῦ, καὶ οὐκ ἔσται ἀνάστασις τῶν νεκρῶν (Εἰρην. κατὰ αἱρέσ. βιβλ. ά. 27. August. de haeres c. XXI.) Ὁ Μαρκίων προσετίθη ταύταις καὶ τρίτην ἀπορεύσασαν ἐκ τοῦ Θεοῦ καὶ δημιουργήσασαν τὸν ὑλικὸν κόσμον. Ὁ ἀγαθὸς Θεός ἐστιν ἡ ἀρχικὴ πηγὴ τῶν πνευμάτων, ὁ δημιουργὸς τοῦ ὑλικοῦ κόσμου—ὁ δίκαιος Θεὸς τῶν Ἰουδαίων. Κακὴ ἀρχή—ὁ Θεὸς τῶν Ἐθνικῶν. Ὅπως ἀπαλλάξῃ τοὺς ἀνθρώπους τῆς ἐξουσίας τοῦ δικαίου Θεοῦ, ὁ ἀγαθὸς ἔπεμψε τὸν Υἱὸν Αὐτοῦ Ἰησοῦν, ὃς ἐπεφάνη ἐν φανταστικῇ σαρκί. Συνῳδὰ ταῖς δοξασίαις ταύταις ὁ Μαρκίων ἐμίσει τὴν κατὰ γράμμα ἑρμηνείαν τῶν Ἰουδαίων, ᾔτει αὐστηροτάτην ἀσκητικὴν ζωήν, καὶ εἶχε πλείστους ὀπαδοὺς (Εἰρην. κατὰ αἱρ. ά. 28. Θεοδ. αἱρ. κακομυθ. ά. 24. Tatul adv. Marcion. Neanders k. G. 517-34).

(2) Ἐγεννήθη ἐν Ἀλεξανδρείᾳ· ἤκμαζεν ἐπὶ τοῦ αὐτοκράτορος Ἀδριανοῦ (περὶ τὸ 125)· παρεδέχετο 365 γένη καὶ τάξεις αἰώνων. Ἡ διαφορὰ τῶν περὶ αὐτοῦ διηγήσεων προέρχεται ἐκ τοῦ ὅτι οἱ μαθηταὶ αὐτοῦ μετέβαλον μικρὸν τὴν διδασκαλίαν αὐτοῦ. ἴδ. περὶ αὐτοῦ Κλήμ. Ἀλεξ. Στρωμ. Δ'. περὶ τῶν μαθητῶν αὐτοῦ Εἰρην. κατὰ αἱρ. ά. 24. Ὁ δοκητισμὸς καὶ ἡ τῶν ἠθῶν ἀκολασία ἀνήκουσιν εἰς τοὺς μαθητάς.

(3) Ἦν Αἰγύπτιος ἐξ Ἑβραίων Χριστιανός· ἐδιδάχθη ἐν Ἀλεξανδρείᾳ τὴν ἑλληνικὴν παιδείαν· περὶ τὸ 140 μετέβη ἐκεῖθεν εἰς Ῥώμην· περὶ δὲ τὸ 160 ἀπέθανεν ἐν Κύπρῳ. Παρεδέχετο δεκαπέντε αἰῶνας ἄρρενας καὶ δεκαπέντε θήλεις. Παρεδέχετο τήν τε Π. καὶ Κ. Διαθήκην· ἡ δὲ ἑρμηνεία αὐτοῦ ἦν ὅλως ἀλληγορική. Ἡ αἵρεσις αὐτοῦ διήρκεσεν ἐπὶ μακρὸν χρόνον.

§ 15 *Χαρακτὴρ τῶν συγγραμμάτων καὶ ἀριθμὸς τῶν ἀποστολικῶν ἀνδρῶν.*

Ὡς γνήσιοι τῶν Ἀποστόλων μαθηταὶ οἱ ἀποστολικοὶ ἄνδρες ἐμιμοῦντο τὸν ζῆλον αὐτῶν πρὸς ἐξάπλωσιν καὶ ὑπεράσπισιν τῆς τοῦ Χριστοῦ ἀληθείας, κατὰ τὸ μέτρον καὶ τὴν ἰδιότητα τῶν ἀναγκῶν καὶ τοῦ χρόνου. Ἐπειδὴ οἱ ἐσωτερικοὶ τῆς Ἐκκλησίας τοῦ Χριστοῦ ἐχθροὶ εἰσήγαγον διαιρέσεις μεταξὺ τῶν ὀπαδῶν τοῦ Κυρίου, ἐφρόντιζον κατ' ἐξοχὴν περὶ τῆς ἑνώσεως αὐτῶν ὑπὸ τὴν διοίκησιν ποιμένων—διαδόχων τοῦ ἀποστολικοῦ ἀξιώματος. Ἡ ἐπηρμένη καὶ φυσιῶσα γνῶσις τῆς διεφθαρμένης φύσεως, εἰσάγουσα σύγχυσιν ἔν τε τῇ ἐσωτερικῇ καὶ ἐξωτερικῇ τῆς Ἐκκλησίας καταστάσει, ἐπεδείκνυ δικαιώματα περὶ τῆς εἰς αὐτὴν καὶ μόνην ὑποταγῆς· οἱ δὲ ἀποστολικοὶ ἄνδρες παρέπεμπον εἰς τὴν διδασκαλίαν τῶν Ἀποστόλων, ὡς πνευματοφόρων κηρύκων τοῦ θείου θελήματος, εἰς τὴν διδασκαλίαν, ἣν οὐ μόνον ἀνεγίνωσκον ἐν τοῖς συγγράμμασιν αὐτῶν, ἀλλὰ καὶ ἤκουσαν αὐτοὶ παρ' αὐτῶν. Ἡ διδασκαλία τῶν Ἀποστόλων συνίστατο οὐχὶ εἰς πειστικοὺς ἀνθρωπίνης σοφίας λόγους, ἀλλ' εἰς τὴν δήλωσιν πνεύματος καὶ δυνάμεως. Τὰ συγγράμματα τῶν ἀποστολικῶν ἀνδρῶν διὰ τὴν πρὸς τοὺς Ἀποστόλους ἀγάπην αὐτῶν, ὡς πατέρας (Β'. πρὸς Τιμόθ. 6'. 1. ά. 2. 4), ἐξετύπουν τὴν αὐτὴν ἰδιότητα τῆς διδασκαλίας, φέροντα τὴν αὐτὴν ἁπλότητα καὶ καθαρότητα, καὶ ἰσχυρὰ ὄντα τῇ ἰσχύϊ τῆς ἀληθείας. Αὐτὴ ἡ ἐξωτερικὴ αὐτῶν μορφὴ ἐδήλου ἁπλότητα, ὡς γεγραμμένων ἐν εἴδει ἐπιστολῶν. Οἱ χριστιανοὶ ἦσαν τότε ἡνωμένοι τῷ συνδέσμῳ τῆς ἀγάπης· ἡ δὲ ἀγάπη συνδέεται ἄλλοις αἰσθήμασι καὶ ἰδέαις· τὰς θλίψεις, ἢ τὰς ἐλλείψεις τοῦ ἄλλου ἡγεῖται οἰκείας· προθύμως ἀντιλαμβάνεται τῶν ἐν ἀνάγκῃ· περὶ τῶν οἰκείων ἢ τῶν ἀλλοτρίων ἀναγκῶν ποιεῖται λόγον οὐκ ἐν πολλαῖς λέξεσιν, οὐ μετὰ τέχνης, ἀλλ' ἐν δυνάμει ζῶντος καὶ ἀκραιφνοῦς αἰσθήματος. Οἱ ἀποστολικοὶ ἄνδρες ἔγραφον, ὡς γράφει ἡ ἁγία ἀγάπη.

Οὐ πολλὰ συγγράμματα καὶ συγγραφεῖς γινώσκομεν νῦν ἐκ τοῦ αἰῶνος τῶν ἀποστολικῶν ἀνδρῶν. Τοῦτο προέρχεται ἐκ τοῦ ὅτι, ὅτε ἦσαν ζῶντες οἱ αὐτόπται τοῦ λόγου, αὐτοὶ μόνοι—«ταῦτα τὰ ἀσθε-

νῇ τοῦ κόσμου»—ὑπέταξαν τὸν κόσμον τῇ διδασκαλίᾳ τοῦ Χριστοῦ· οἱ δὲ μαθηταὶ αὐτῶν ὤφειλον ἀκροᾶσθαι τῶν διδασκαλιῶν αὐτῶν. Αἱ διδασκαλίαι τῶν Ἀποστόλων ἦσαν ἔτι ζῶσαι ἐν τῇ ψυχῇ τῶν πιστῶν· ἡ φωνὴ αὐτῶν οἷον ἔναυλος ὑπῆρχεν ἔτι ταῖς ἀκοαῖς πάντων· οἱ δὲ διάδοχοι τῆς ἀποστολικῆς, σεβόμενοι τοὺς Ἀποστόλους, οὐκ ἐτόλμων εἰπεῖν τι ἐνώπιον αὐτῶν πρὸς διδασκαλίαν τῆς Ἐκκλησίας. Ὁ ἅγιος Ἰγνάτιος ὁ Θεοφόρος οὐ βούλεται καλεῖσθαι διδάσκαλος τῶν Ἐφεσίων, ἀκροασαμένων ἰδίοις ὠσὶ τῆς διδασκαλίας τοῦ Ἀποστόλου Παύλου καὶ ἐπιστολῆς αὐτοῦ ἀξιωθέντων. «Οὐ διατάσσομαι ὑμῖν, γράφει πρὸς αὐτούς, ὡς ὤν τις. Εἰ γὰρ καὶ δέδεμαι ἐν τῷ ὀνόματι, οὔπω ἀπήρτισμαι ἐν Ἰησοῦ Χριστῷ. Νῦν γὰρ ἀρχὴν ἔχω τοῦ μαθητεύεσθαι, καὶ προσλαλῶ ὑμῖν ὡς συνδιδασκαλίταις μου. Ἐμὲ γὰρ ἔδει ὑφ᾽ ὑμῶν ὑπαλειφθῆναι πίστει, νουθεσίᾳ, ὑπομονῇ, μακροθυμίᾳ. Ἀλλ᾽ ἐπεὶ ἡ ἀγάπη οὐκ ἐᾷ με σιωπᾶν περὶ ὑμῶν, διὰ τοῦτο προέλαβον παρακαλεῖν ὑμᾶς, ὅπως συντρέχητε τῇ γνώμῃ τοῦ Θεοῦ . . .» (¹), Ἐκτὸς τούτου οἱ ἄνθρωποι καὶ τὰ πάθη ἐστέρησαν τοὺς ἐπιγιγνομένους πολλῶν θησαυρῶν τῆς ἀρχαιότητος. Οἱ ἐχθροὶ τοῦ χριστιανισμοῦ ἐσπούδαζον ἐξαφανίσαι τὰ χριστιανικὰ συγγράμματα, καὶ κατὰ καιροὺς ἔκαιον πᾶν ὅ,τι εὕρισκον ἐν τοῖς τόποις τῶν εὐκτηρίων αὐτῶν συλλόγων, συντρέχοντος ταῖς ἐνεργείαις αὐτῶν καὶ τοῦ χρόνου τῶν τότε παγχαλέπων περιστάσεων. Οὕτως ἀπωλέσθησαν π. χ. ἡ ἀ π ο λ ο γ ί α τοῦ Ἀριστείδου, ὁ ἔλεγχος τοῦ Ἀγρίππα Κάστορος κατὰ Βασιλείδου, καὶ ἡ ἀ ν τ ι λ ο γ ί α Ἀρίστωνος τοῦ Πελλαίου (α).

Ὑπῆρξαν, ὡς μὴ ὤφελεν, ἄνθρωποι, ἔχοντες τὴν ἔφεσιν τοῦ φθείρειν τὴν ἱερὰν ἀρχαιότητα. Ἄλλοι μὲν παρορμώμενοι ὑπὸ εὐσεβείας, ἀλλ᾽ ἄνευ ἐπισκοπήσεως τοῦ μέλλοντος, ἐκόσμουν τὰ ἑαυτῶν συγγράματα τοῖς ὀνόμασι μεγάλων ἀνδρῶν, ἢ ἐπέγραφον τὸ

(¹) Ἐπιστ. πρὸς Ἐφεσ. § 3.

(α) Τοῦ ἐλέγχου τοῦ Ἀγρίππα τεμάχιά τινα ἐδημοσιεύθησαν ἐν τῇ βιβλιοθήκῃ τοῦ Γαλλανδίου. Τ. Ι. Confutationis adversus Basilidem Excerpta ἐπιγραφόμενα.

ἴδιον εἰς ἀλλότριον (¹)· ἄλλοι δὲ ἐποίουν τὸ αὐτὸ μετὰ προθέσεως προφανῶς πολεμίας τῇ ἁγίᾳ καθολικῇ πίστει (²). Οὕτως εἰς τοὺς

(¹) Οὕτω συνεγράφησαν πρὸς τοῖς ἄλλοις: α) *αἱ περίοδοι Παύλου καὶ Θάκλης*· β) *ἡ διαθήκη τῶν δώδεκα Πατριαρχῶν*· γ) *τὸ Πρωτευαγγέλιον Ἰακώβου*, οὗ γνῶσιν ἤδη εἶχον ὁ ἅγ. Ἰουστῖνος (Διάλ. πρὸς Τρύφωνα, κεφ. οη΄. σελ. 303.), Κλήμης ὁ Ἀλεξανδρεὺς (Στρ. Ζ΄. σελ. 889), ὁ Ὠριγένης (ὑπόμν. εἰς Ματθ. γ΄. 463. ed de la Rue), Γρηγόριος ὁ Νύσσης (λόγ. εἰς τὴν Γέν. τοῦ Χριστοῦ Τ. 2. σελ. 778), καὶ ὁ Ἐπιφάνιος (αἵρ. οθ΄. § 5. ed. Petav. I. 1062. αἵρ. οη΄. § 7). δ) οὐ ποιούμεθα λόγον περὶ τοιούτων συγγραμμάτων, οἷα τὰ 10 βιβλία *Ἀβδίου* τοῦ Βαβυλωνίου περὶ τῶν Ἀποστόλων Historia certaminis apostolici). Ἐν τῷ προλόγῳ τούτου τοῦ βιβλίου λέγει, ὅτι εἶδε τὸν Ἰησοῦν Χριστόν, ὅτι ἦν εἷς τῶν οβ΄. μαθητῶν, ὅτι ἠκολούθησεν ἐν Περσίᾳ τῷ Σίμωνι καὶ τῷ Ἰούδᾳ, οἳ κατέστησαν αὐτὸν ἐπίσκοπον Βαβυλῶνος. Ἀλλὰ σύναμα ἐπάγεται τὸν Ἡγήσιππον, ἀποθανόντα περὶ τὸ 180ον ἔτος. Λέγει προσέτι, ὅτι συνέγραψε τὸ σύγγραμμα αὐτοῦ ἑβραϊστί, μεταφρασθὲν ἑλληνιστὶ μὲν ὑπὸ τοῦ μαθητοῦ αὐτοῦ Εὐτροπίου, λατινιστὶ δὲ ὑπὸ τοῦ Ἰουλίου Ἀφρικανοῦ, ἀκμάσαντος περὶ τὰ μέσα τοῦ δευτέρου αἰῶνος.

(²) Οἱ αἱρετικοὶ κατὰ τὸ μᾶλλον ἢ ἧττον ἐπὶ δολίῳ σκοπῷ συνέταττον, ὡς ἔγραψεν ὁ ἅγιος Εἰρηναῖος (κατὰ αἱρ. ά. 20) *ἀμύθητον πλῆθος ἀποκρύφων καὶ νόθων Γραφῶν*. Μεταξὺ τῶν ἄλλων γνωστά· α) παρὰ τοῖς Ἐβιωναίοις: αα) *Οἱ ἀναβαθμοὶ τοῦ Ἰακώβου*, κατέχοντες θέσιν τῶν Πράξεων τῶν Ἀποστόλων (Ἐπιφάν. κατὰ αἱρ. ά. 16)· ββ) τὸ ὑπ' αὐτῶν συνταχθὲν *ἑβραϊκὸν Εὐαγγέλιον*, ἄλλως *Εὐαγγέλιον τῶν δώδεκα* (Ἐπιφάν. αὐτόθ. 13), ὅπερ προυτίμων τῶν ἄλλων· γγ) *αἱ Περίοδοι τοῦ Πέτρου* (Ἐπιφάν. αὐτ. 15)· β) τοῖς Ἑλκεσαΐταις ἀποδοτέον *τὸ αἰγύπτιον Εὐαγγέλιον*, ᾧ, κατὰ τὸν Ἐπιφάνιον, ἐχρῶντο οἱ Σαβελλιανοὶ (αἵρ. νβ΄. 2)· ββ) εἰς τοὺς αὐτοὺς ἀνήκει *τὸ κατὰ Πέτρον Εὐαγγέλιον*, οὗ τὰ ψευδῶς εἰρημένα ἀπήλεγξε Σεραπίων ὁ Ἀντιοχείας († 211) (Εὐσέβ. ς΄. 12), ὃ καὶ Ὠριγένης ἀνεσκεύασε· γ) πάνυ γνωστὰ *τὸ Εὐαγγέλιον καὶ ὁ Ἀπόστολος τοῦ Μαρκίωνος*, συντάξαντος τὸ ἑαυτοῦ ἐκ τοῦ Εὐαγγελίου τοῦ ἁγίου Λουκᾶ, ἐκ δὲ τῶν λοιπῶν βιβλίων τῆς Κ. Δ. παραδεχομένου 10 μόνον ἐπιστολὰς τοῦ Ἀποστόλου Παύλου, ἃς μετέβαλλε κατὰ τὸ δοκοῦν. Ὁ αἱρετικὸς οὗτος ἀντὶ τῆς *πρὸς Ἐφεσίους* ἐπιστολῆς συνέταξε *πρὸς Λαοδικεῖς* (Hug. Einleitung in N. T. Th. I. S. 69. 1826). *Τὸ Εὐαγγέλιον τοῦ Μαρκίωνος* ἐξέδωκεν ὁ Thilo in cod. apocr. N. T. I. p. 401—486. Lips. 1833. Τὴν *πρὸς Λαοδικεῖς* ἐπιστολὴν ὁ Anger lib. d. Laodicenebrief· δ) ὁ Βασιλείδης εἶχε α) τὸ ἑαυτοῦ Εὐαγγέλιον (Ὠριγ. ὁμιλ. ά. εἰς Λουκ.), ἐξ εἴκοσι καὶ τεσσάρων βιβλίων συγκείμενον, ἃ καὶ *ἐξηγητικὰ* ἐκαλοῦντο (Εὐσέβ. δ. 7)· β) τὰς *προφητείας* τῶν προφητῶν *Βαρκαββᾶ καὶ Βαρκὼβ* (Εὐσέβ. αὐτόθ).

μετὰ ταῦτα διεσώθησαν οὐ πολλοὶ ἐκ τῶν καθαρῶν καρπῶν τοῦ νοῦ τῶν ἀποστολικῶν ἀνδρῶν, ἔτι καὶ νῦν ἐργῶδες παρίσταται τὸ διακρῖναι τὰ ἔργα τῶν μεγάλων ἀπὸ τῶν τῆς ἀνθρωπίνης ἀσθενείας. Ἐξαιρέσει συγγραμμάτων ὠφελίμων ὁπωσδήποτε, ὡς ἔργων ἐκκλησιαστικῶν συγγραφέων ([1]), μέχρις ἡμῶν ἀφίκοντο τὰ συγγράμματα οὐχὶ πολλῶν ἀποστολικῶν ἀνδρῶν· τοιοῦτοι οἱ ἅγιοι Κλήμης ὁ Ῥώμης, Ἰγνάτιος, Πολύκαρπος, Ἑρμᾶς, Βαρνάβας, Κοδράτος καὶ Παπίας.

ΜΕΡΙΚΗ ΕΠΙΘΕΩΡΗΣΙΣ.

§ 16. *Βίος τοῦ ἁγίου Κλήμεντος.*

Κλήμης, ὁ Ῥώμης ἐπίσκοπος, τὸ γένος Ῥωμαῖος ἐθνικὸς ([2]), ἐπεστράφη εἰς τὴν εἰς Χριστὸν πίστιν ὑπὸ τοῦ Ἀποστόλου Πέτρου([3])·

([1]) Πάνυ σπουδαῖαι διὰ τὴν ἱστορίαν εἰσὶν αἱ σημειώσεις περὶ τοῦ μαρτυρίου: α) *τοῦ ἁγίου Ἰγνατίου* (ἐξεδ. ὑπὸ Κοτελερίου - op. Patr. Apostolic. Antwerp. 1724. T. 2. p. 157)· β) *τοῦ ἁγίου Πολυκάρπου* (Εὐσέβ. δ'. 15. πληρέστερον ὁ Κοτελέριος αὐτόθ. p. 193. Ruinarti Act. Martyr. Sinc. a. 1689). γ) τῆς ἁγίας *Συμφορόσης* καὶ τῶν τέκνων αὐτῆς (Ruin. Act. Mart.-Galland. B. P. T. I.)· δ) τῆς ἁγίας *Φελικίτης* (Ruin. Ibid.-Galland. Bibl.)· ε) περὶ τοῦ ἁγίου *Ἰακώβου* τοῦ Ἀποστόλου (Εὐσέβ. β'. 23) καὶ τοῦ ἁγίου *Συμεῶνος* ἐπισκ. Ἱεροσολύμων (αὐτόθ. γ'. 32).

([2]) Ὅτι κατήγετο ἐξ ἐθνικῶν ὑπαινίσσονται καὶ οἱ λόγοι τῆς πρώτης πρὸς Κορινθίους ἐπιστολῆς αὐτοῦ: «Κατανοήσωμεν τοὺς στρατευομένους τοῖς ἡγουμένοις ἡμῶν» (§ 37)· ἐν δὲ τῇ δευτέρᾳ λέγει σαφῶς (§. 1), ὅτι, πρὶν ἢ γένηται Χριστιανός, προσεκύνει λίθους, καὶ ξύλα, καὶ χρυσὸν καὶ ἄργυρον καὶ χαλκόν. Εὐχέριος ὁ Λουγδούνου ἐπίσκοπος λέγει: (Pemens vetusta prosapia senatorum atque etiam stirpe Caesatum, omni scientia refertus, omniumqne liberalium artium peritissimns ad hanc justorum viam transiit· itaque in ea excellenter floruit, ut Principis quoque Apostolorum successor exstiterit» (epist. paraenet. decontemptu mundi et saecul. philosophiae, ad Valerianum cognatum suum). Ἀλλὰ τοῦτο ὤφειλεν εἰπεῖν περὶ τοῦ Φλαβίου Κλήμεντος, μαρτυρήσαντος ἐπὶ τοῦ Δομιτιανοῦ, ἀλλ' οὐχὶ περὶ τοῦ ἐπισκόπου Κλήμεντος, περὶ οὗ οὐδὲν τοιοῦτο λέγουσι τὰ συγγράμματα αὐτοῦ.

([3]) Ὠριγ. Φιλοκ. κεφ. κβ'. ὁ Π. Ζώσιμος λέγει: «beati Petri Apostoli disciplinis imbutus» (Baron. ad Annal. 417. num. 20.) πρβ. σημ. 6. 7.

ἐν τῷ κηρύγματι τῆς πίστεως ἦν συνεργὸς τοῦ διδασκάλου τῶν ἐθνῶν· συνέπαθε αὐτῷ (περὶ τὸ 53) ἐν Φιλίπποις· συμμετέσχε τῶν κινδύνων καὶ τῶν κόπων τοῦ ἀποστολικοῦ ὑπουργήματος ἀλλαχοῦ [1]. Τοῦτον, ὡς λέγουσιν ὁ Ὠριγένης, ὁ Εὐσέβιος, καὶ ἄλλοι [2], καλεῖ ὁ Ἀπόστολος ἕνα τῶν συνεργῶν αὐτοῦ, ὧ ν τ ὰ ὀ ν ό μ α τ α ἐ ν β ί β λ ῳ ζ ω ῆ ς [3]. Οἱ ἀρχαῖοι ὁμοφώνως καλοῦσιν αὐτὸν ἀποστολικὸν ἄνδρα [4], καὶ ὁ ἅγιος Εἰρηναῖος λέγει, ὅτι ἑώρακε τοὺς μακαρίους Ἀποστόλους, καὶ συνεβεβλήκει αὐτοῖς, καὶ ἔτι ἔναυλον τὸ κήρυγμα αὐτῶν καὶ τὴν παράδοσιν πρὸ ὀφθαλμῶν εἶχεν [5]. Ἐπειδὴ ἦν οὕτω συνδεδεμένος τοῖς Ἀποστόλοις, καὶ ἰδίως τῷ Πέτρῳ, πιθανὴ ἡ ῥωμαϊκὴ παράδοσις, ὅτι κατεστάθη ὑπ᾽ αὐτοῦ ἐπίσκοπος Ῥώμης· ἀλλ᾽ ἀναμφίβολος καὶ ἡ τοῦ Εἰρηναίου καὶ Εὐσεβίου μαρτυρία, ὅτι ὁ Κλήμης ἐκυβέρνησε τὴν ἐκκλησίαν τῆς Ῥώμης μετὰ Λῖνον καὶ

(1) Χρυσόστ. ὁμιλ. ά. εἰς τὴν Α. πρὸς Τιμόθ. ιγ΄. εἰς τὴν πρὸς Φιλιπ.

(2) Ὠριγ. εἰς Ἰωάν. Τόμ. 9. μέρ. 2. σελ. 143. ed. Huet Colon, 1685: «Μεμαρτύρηται δὲ καὶ παρὰ τοῖς ἔθνεσιν, ὅτι πολλοί τινες λοιμικῶν ἐνσκηψάντων νοσημάτων ἑαυτοὺς σφάγια ὑπὲρ τοῦ κοινοῦ παραδεδώκασιν· καὶ παραδέχεται ταῦθ᾽ οὕτως γεγονέναι οὐκ ἀλόγως πιστεύσας ταῖς ἱστορίαις ὁ πιστὸς Κλήμης, ὑπὸ Παύλου μαρτυρούμενος, λέγοντος. *Μετὰ Κλήμεντος κ.τ.λ.* Εὐσέβ. Ἐκκλ. ἱστορ. γ΄. 15. «Δωδεκάτῳ δὲ ἔτει . . . διαδέχεται Κλήμης, ὃν συνεργὸν ἑαυτοῦ γενέσθαι Φιλιππησίοις ἐπιστέλλων ὁ Ἀπόστολος διδάσκει λέγων: «Μετὰ καὶ Κλήμεντος καὶ τῶν λοιπῶν συνεργῶν μου...» Ἐπιφάν. αἱρ. κς΄. 6. Hieron de vir. illustr. c. 15.

(3) Πρὸς Φιλιππησ. δ΄. 3. πρβλ. Πράξ. ις΄.

(4) Hierom. comment. in Es. LII. 13. «Clemens vir apostolicus . . .» Ruf. pro Origene. Κλήμ. Ἀλεξ. Στρωμ. δ΄. 17. «Ναὶ μὴν ἐν τῇ πρὸς Κορινθ. ἐπιστολῇ ὁ Ἀπόστολος Κλήμης . . .»

(5) Εἰρην. κατὰ αἱρέσ. γ΄. 3. παρ᾽ Εὐσεβ. ἐκκλ. ἱστορ. έ. 6.

Κλῆτον ἢ Ἀνέγκλητον (¹). Κατὰ τὴν μαρτυρίαν τοῦ Εὐσεβίου, ὁ ἅγιος Κλήμης ἐποίμανε τὴν ῥωμαϊκὴν ἐκκλησίαν ἀπὸ τοῦ ιβʹ. ἔτους τῆς βασιλείας τοῦ Δομιτιανοῦ (ἀπὸ τοῦ 92 Μ. Χ.) μέχρι τοῦ τρίτου τῆς τοῦ Τραϊανοῦ, ἢ μέχρι τοῦ 101ου χριστιανικοῦ, ἡ δὲ ποιμαντικὴ αὐτοῦ μέριμνα ἐξετείνετο καὶ πέραν τῆς ἐν Ῥώμῃ Ἐκκλησίας, ὡς ὁρῶμεν καὶ ἐκ τῶν συγγραμμάτων αὐτοῦ. Ἐπὶ τοῦ Τραϊανοῦ ἐξωρίσθη διὰ τὸ ὄνομα τοῦ Χριστοῦ εἰς τὴν Ταυρικὴν χερσόνησον πέραν τοῦ Εὐξείνου, ἔνθα παρεμυθεῖτο τῷ λόγῳ τῆς πίστεως τοὺς ὑπὲρ αὐτῆς ἐξορισθέντας, ἐπέστρεψε διὰ πολλῶν θαυμάτων πολλοὺς τῶν ἐθνικῶν εἰς τὴν χριστιανικὴν πίστιν, καὶ ἀνεδήσατο τὸν τοῦ μαρτυρίου στέφανον (²). Τὰ λείψανα αὐτοῦ ἐλήφθησαν ἐκ

(¹) Tertul. de praescript. § 32. «Romanorum (Ecclesia) Clementem a Petro ordinatum edit.» Τὸ αὐτὸ παρ' Ἱερωνύμῳ de vir. illustr. c. 15 . . . Clemens . . . quartus post Petrum Romae episcopus; siquidem secundus Linus fuit, tertius Anacletus, tametsi plerique Latinorum secundum post Petrum Apostolum putent fuisse Clementem». Ὁ Ῥουφῖνος praefat. in. S. Clementis recognitiones: «quidam requirunt, quomodo, cum Linus et Anacletus in urbe Roma ante Clementem hunc fuerint episcopi, ipse Clemens ad Jacobum scribens sibi dicat a Petro docendi cathedram traditam». Ἐπειδὴ ἐπὶ τοῦ Τερτυλλιανοῦ οὐκ ἠδύναντο ἐν Ῥώμῃ ἀγνοεῖν τὰς ὁμιλίας τοῦ Κλήμεντος (σημ. 48), ἕπεται, ὅτι οὐ τὴν ῥωμαϊκὴν παράδοσιν δεῖ ἐξάγειν ἐκ τῶν ὁμιλιῶν τοῦ Κλήμεντος, ἀλλὰ τὴν ὑπεράγαν κεκοσμημένην καὶ ὑπερβολικὴν διήγησιν τῶν ὁμιλιῶν ἐκ τῆς ῥωμαϊκῆς παραδόσεως. Ὁ Εὐσέβιος λέγει, ὅτι ὁ Λῖνος ἦν ἐπίσκοπος ἀπὸ τοῦ 68—80, ὁ Ἀνέγκλητος ἀπὸ τοῦ 80—92, ὁ Κλήμης ἀπὸ τοῦ 92—101. (Ἐκκλ. ἱστ. γʹ. 13. 15. 34. εʹ. 6. Εἰρην. ἔνθα ἀνωτ.)

(²) Καίτοι τὰς κατὰ μέρος πράξεις τοῦ μαρτυρίου αὐτοῦ (ἐκδ. ὑπὸ Κοτελερίου) οὐ παραδέχονται ἐν πᾶσιν ὡς ἀξιοπίστους, ἀλλ' ὅμως αἱ κύριαι διηγήσεις αὐτῶν μετὰ τὴν μαρτυρίαν τοῦ Ῥουφίνου (pro Orig. T. I. p. 778) καὶ τοῦ Ζωσίμου (ep. 2. an. 417) εἰσὶν ἐκτὸς ἀμφιβολίας. Ἐκ τούτου λέγει ὁ Εὐσέβιος: «τὰ πάντα προέστη ἔτεσιν ἐννέα τῆς τοῦ Θείου λόγου διδασκαλίας» (Ἐκκλ. ἱστ. γʹ. 34). Ὁ Ἱερώνυμος ποιεῖται λόγον περὶ τοῦ εἰς μνήμην αὐτοῦ ἀνεγερθέντος ναοῦ (de vir. illustr. c. 15)· οἱ δὲ ναοὶ κατὰ τοὺς πρώτους αἰῶνας ἀνηγείροντο κατ' ἐξοχὴν ἐπὶ τῶν τάφων τῶν μαρτύρων. *Διονύσιος* ὁ Κορίνθου (παρ' Εὐσεβ. δʹ. 23) ἐν τῇ πρὸς Ῥωμαίους ἐπιστολῇ αὐτοῦ ἐπῄνει τὴν ἐκκλησίαν αὐτῶν διὰ τὸ εἶναι αὐτῇ ἐξ ἀρχῆς ἔθος ἐπιχορηγεῖν ἐλεημοσύνας τοῖς ἐν μετάλλοις ὑπάρχουσιν ἀδελφοῖς. Τοῦτο δὲ πάλιν χρησιμεύει πρὸς βεβαίωσιν τοῦ διηγήματος περὶ τῶν ἀγώνων τοῦ ῥωμαίου ποιμένος ἐν Χερσονήσῳ.

τῆς χερσονήσου ὑπὸ τῶν ἁγίων Κυρίλλου καὶ Μεθοδίου εἰς ἐφόδιον καὶ μαρτυρίαν περὶ τῆς ἀληθείας τοῦ Χριστοῦ ἐν τῇ τοῦ θείου λόγου διδασκαλίᾳ αὐτῶν πρὸς τὰ σλαβικὰ φῦλα, μέρος δὲ αὐτῶν— ἡ ἁγία κάρα—μετ' ἄκρας εὐλαβείας μετεκομίσθη εἰς Ρωσσίαν ὑπὸ τοῦ ἰσαποστόλου Βλαδιμήρου (*).

§ 17. *Χαρακτὴρ αὐτοῦ ὡς διδασκάλου τῆς Ἐκκλησίας· πρώτη ἐπιστολὴ πρὸς Κορινθίους· ὑπόθεσις αὐτῆς.*

Τὰ συγγράμματα τοῦ ἁγίου Κλήμεντός φέρουσι τὴν σφραγίδα τοῦ πνεύματος τοῦ μαθητοῦ τῶν Ἀποστόλων, καὶ κατ' ἐξοχὴν τοῦ τοῦ Ἀποστόλου Παύλου. Πολλάκις ἐχρῆτο αὐταῖς ταῖς λέξεσι τοῦ Ἀποστόλου τούτου ἀντὶ οἰκείων. Ἡ πρὸς τὸν Λυτρωτὴν ζῶσα ἀγάπη, ᾗ διαπρέπουσιν αἱ ἐπιστολαὶ τοῦ διδασκάλου τῶν ἐθνῶν, καταφαίνεται καὶ ἐν ταῖς τοῦ Κλήμεντος. Ἡ πρὸς τοὺς ἀδελφοὺς ἀγάπη αὐτοῦ δηλοῦται ἐν τῷ σταθερῷ μέν, ἀλλὰ πρᾳεῖ ἐλέγχῳ τῶν τετυφλωμένων. Ἡ πρὸς τὸν Θεὸν εὐσεβὴς αὐτοῦ ἀγάπη ἐκφράζεται ἰσχυραῖς καὶ ζωηραῖς εἰκόσι τοῦ μεγαλείου αὐτοῦ καὶ τῆς δυνάμεως τοῦ Λυτρωτοῦ. Ἡ γλῶσσα τῶν συγγραμμάτων αὐτοῦ διαπρέπει τῇ ἀκριβείᾳ καὶ καθαρότητι τῶν κλασικῶν τῆς Ἑλλάδος συγγραφέων· σύναμα δ' ἐστὶ χριστιανικὴ γλῶσσα μετ' εἰκόνων καὶ ἐκφράσεων τῆς ἁγίας Γραφῆς, καὶ ἰδίως τοῦ Ἀποστόλου Παύλου.

Ἡ πρώτη πρὸς Κορινθίους ἐπιστολὴ τοῦ ἁγίου Κλή-

(*) ἴδ. Martyr. S. Clementis ap. Cotelerium T. 2. p. 819 — «*Κύριλλος καὶ Μεθόδιος*» ὑπὸ Γορσκίου. Μην. τοῦ ἁγ. Δημήτρ. τοῦ Ροστοβ., Μαΐου 11. Περὶ τῶν ναῶν τῶν ἀνεγερθέντων παρὰ τοῖς Σλάβοις ὑπὸ τῶν ἁγίων Κυρίλλου καὶ Μεθοδίου εἰς μνήμην τοῦ ἁγ. Κλήμεντος, ἴδ. ἱστορίαν τῆς πρώτ. χριστ. ἐκκλ. παρὰ Σλάβοις, σελ. 82.

μεντός ἐστιν ἀναμφιβόλως γνησία (1), καὶ πολύτιμον μνημεῖον τῆς διδασκαλίας τοῦ ἀνδρός. Ἡ ἀρχαία ἐκκλησία ἐσέβετο τὰ μάλιστα αὐτήν. Ὁ Εὐσέβιος (2) καλῶν αὐτὴν μεγάλην τε καὶ θαυμα-

(1) Ὁ Ἡγήσιππος (παρ' Εὐσεβ. δ'. 22) ἀναφέρει χωρία ἐκ τῆς ἐπιστολῆς ταύτης, ὡς γνησίου ἔργου ἀποστολικοῦ ἀνδρός. Τὸ ὑπὸ τοῦ Εἰρηναίου λεγόμενον περὶ τῆς ἐπιστολῆς τοῦ Κλήμεντος (κατὰ αἱρ. γ'. 3) ἀναφέρεται πρὸς τὴν νῦν γνωστὴν Α'. τοῦ Κλήμεντος ἐπιστολήν. Ὁ Ὠριγένης παράγει ἓν χωρίον αὐτῆς, ἀναγινωσκόμενον καὶ ἐν τῇ νῦν ἐπιστολῇ (περὶ Ἀρχ. βιβλ. β'. κεφ. 3. § 6. ed. Paris. 1733, tom. I. p. 82. προβλ. Κλήμ. ἐπιστ. Α'. κεφ. 20). Κλήμης ὁ Ἀλ. παράγει χωρία τινά, ἃ πάντα ἀναγινώσκονται ἐν τῇ μέχρις ἡμῶν περισωθείσῃ ἐπιστολῇ τοῦ Κλήμεντος (Στρωμ. Α'. 7. σελ. 339. 8. p. σελ. 773. πρβλ. ἐπ. πρὸς Κορινθ. § 48. Στρωμ. Δ'. 17. σελ. 609, 610 καὶ ἐπιστ. πρὸς Κορινθ. § 1. 9-12, 17, 18, 48-53. Στρωμ. Ε'. 12. σελ. 593. ἐπιστ. πρὸς Κορ. § 20). Ὡσαύτως Κύριλλος ὁ Ἱεροσ. (Κατήχ. ιη'. 8. πρβλ. ἐπ. Α'. § 25.), ὁ Ἐπιφάνιος (κατὰ Καρποκρ. αἱρ. κζ'. § 6. πρβλ. ἐπ. Α'. § 54.), ὁ Ἱερώνυμος (lib xiv comment. in Isa. LII, 13, προβλ. ἐπ. Α'. § 16. lib. I. comment. in ep. ad Ephes., II. 2. πρβλ. ἐπ. Α'. κεφ. 20. αὐτόθ. lib. II. ad cap. IV. I. πρβλ. ἐπ. Α'. κεφ. 49).

(2) Ἐκκλ. γ'. 16. Ὁ Εἰρηναῖος καλεῖ αὐτὴν *ἱκανωτάτην* (παρ' Εὐσ. Ε'. 6), ὁ Φώτιος *ἀξιόλογον* (ἀνάγν. ριγ'.) Ὁ Ἱερώνυμος ἐπαναλαμβάνει τοὺς λόγους τοῦ Εὐσεβίου (de vir. illustr. c. 15.), Κύριλλος ὁ Ἱεροσ. (Κατ. ιη'. 8) καὶ ὁ Ἐπιφάνιος (αἱρ. λ'. 15. κζ'. 6.) ὡσαύτως ἐπαινοῦσιν αὐτήν. Ἐν τῷ ἀρχαιοτάτῳ Ἀλεξ. κώδηκι τῆς Π. καὶ Κ. Δ. ὃν ὁ Π. Κωνσταν]πόλεως Κύριλλος ὁ Λούκαρις ἀπέστειλε τῷ 1628 δῶρον τῷ βασιλεῖ τῶν Ἄγγλων Καρόλῳ τῷ Α'. ἡ ἐπιστολὴ αὐτὴ τέτακται μετὰ τὰς κανον. ἐπ. τῆς Κ. Δ. Τὸ ἀπόγραφον τοῦτο ἐγράφη τῇ χειρὶ τῆς εὐσεβοῦς καὶ εὐγενοῦς Αἰγυπτίας Θέκλης περὶ τοὺς χρόνους τῆς ἐν Νικαίᾳ συνόδου (325), καὶ ἐκ τούτου τὸ πρῶτον ἐξεδόθη ἡ ἐπ. τοῦ Κλήμεντος ἐν Ὀξωνίῳ ὑπὸ τοῦ Πατρικίου Ἰωάννου τῷ 1633· ἔπειτα in Bibl. Polyglit. Loud. Ἐκδ. ἀμφοτ. τῶν πρὸς Κορ. ἐπ. Cotelerii latr. qui temp. Apost. floruerunt... opera omnia cum martyriis, Antwerpiæ 1698. II. f. auct. et emend. ibid. 1724. Ὁ Οὐόττονος (Wottonus) ἐπεθεώρησεν ἐκ νέου τὸ κείμενον, ἐπιδιώρθωσεν ἐν πολλοῖς, καὶ ἐξέδωκεν ἐν Κανταβρυγίᾳ τῷ 1718. Τὸ ὑπ' αὐτοῦ ἐπιδιορθωθὲν κείμενον παρεδέξαντο ἔπειτα ὁ Φρέϋος, ὁ Ρουσέλιος, ὁ Γαλλάνδιος, ὁ Ὀρνέμαννος, ὁ Ἰακωβσόνιος, ὁ Σχοινέμανος, καὶ τέλος ὁ Ἐφέλης (Hefele, Patrum apostolicorum Opera, Tubingaæ, 1842, in—8°).

σίαν, προστίθησιν, ὅτι ἐν πολλαῖς ἐκκλησίαις ἀνεγινώσκετο δημοσίᾳ. Τὸ τελευταῖον δῆλον καὶ ἐκ τῶν λόγων Διονυσίου τοῦ Κορίνθου ἀκμάσαντος κατὰ τὸν δεύτερον αἰῶνα (¹).

Ἡ ἐπὶ ἀποστολικῇ ἁπλότητι καὶ δυνάμει διαπρέπουσα ἐπιστολὴ τοῦ Κλήμεντος ἐγράφη μετὰ τὸ τέλος τοῦ δομιτιανείου διωγμοῦ (περὶ τὸ 97ον ἔτ.), διὰ τὰς ἐν τῇ ἐκκλησίᾳ τῆς Κορίνθου ἀναφανείσας διαφωνίας (²). Ἐπειδή τινες ἐξ ὑπερηφανίας καὶ φθόνου ἤρξαντο ἀντιποιούμενοι τοῦ πρωτείου, ἀνεφάνη τὸ δεύτερον ἐν τῇ ἐκκλησίᾳ τῆς Κορίνθου ἀπαίσιον σχίσμα. Ἐπὶ τοῦ Ἀποστόλου Παύλου τοιοῦτον σχίσμα ἐκωλύθη τῇ ἰσχύϊ τῆς ἀποστολικῆς ἐξουσίας. Νῦν δὲ οἱ τιμῆς καὶ ἐξουσίας ἐρασταὶ ἐχώρησαν μέχρι τοσούτου, ὥστε ἐτόλμησαν ποιεῖν ἑαυτοῖς ὀπαδοὺς καὶ στερεῖν τῆς ἐξουσίας τοὺς λαβόντας τὸ πρωτεῖον καὶ τὴν ἐξουσίαν κατὰ τὴν τάξιν τῆς Ἐκ-

(¹) Ὁ Διονύσιος ἔγραφε πρὸς τοὺς Ρωμαίους: «Τὴν σήμερον οὖν Κυριακὴν ἁγίαν ἡμέραν διηγάγομεν, ἐν ᾗ ἀνεγνώκαμεν ὑμῶν τὴν ἐπιστολήν· ἣν ἕξομεν ἀείποτε ἀναγινώσκοντες νουθετεῖσθαι, ὡς καὶ τὴν προτέραν ἡμῖν διὰ Κλήμεντος γραφεῖσαν» (Εὐσέβ. δ΄. 23). Περὶ τῆς ἐν τοῖς ναοῖς ἀναγνώσεως αὐτῆς ποιοῦνται λόγον ὁ Ἱερώνυμος (de vir. illustr. c. 15) καὶ ὁ Φώτιος (ἀνάγν. ριγ΄.)

(²) Τὸ περὶ τοῦ χρόνου τῆς συγγραφῆς τῆς ἐπιστολῆς ζήτημα λύει ἐν μέρει αὐτὴ ἡ ἐπιστολή. Ἐν αὐτῇ τῇ ἀρχῇ αὐτῆς (§ 1.) γίγνεται μνεία τῶν συμφορῶν τῶν ἐπελθουσῶν τῇ ρωμαϊκῇ ἐκκλησίᾳ, ὧν ὅμως ἤρξατο ἀπαλλάττεσθαι. Ἐν τῷ μδ΄. κεφ. ἀναγινώσκομεν: «τοὺς οὖν κατασταθέντας ὑπ' ἐκείνων (τῶν Ἀποστόλων), ἢ μεταξὺ ὑφ' ἑτέρων ἐλλογίμων ἀνδρῶν, συνευδοκησάσης τῆς Ἐκκλησίας πάσης, καὶ λειτουργήσαντας ἀμέμπτως τῷ ποιμνίῳ τοῦ Χριστοῦ μετὰ ταπεινοφροσύνης, ἡσύχως καὶ ἀβαναύσως, μεμαρτυρημένους τε πολλοῖς χρόνοις ὑπὸ πάντων, τούτους οὐ δικαίως νομίζομεν ἀποβαλέσθαι τῆς λειτουργίας.» Ἐντεῦθεν ὁρῶμεν, ὅτι ἡ ἐπιστολὴ ἐγράφη ἐν τῷ τέλει βαρέος διωγμοῦ, καὶ μακροῦ χρόνου παρελθόντος μετὰ τὸν θάνατον τοῦ Ἀποστόλου τῶν Κορινθίων, ἑπομένως οὐκ ἐπὶ τοῦ Νέρωνος, ἀλλὰ ταχέως μετὰ τὸν θάνατον τοῦ Δομιτιανοῦ. Ὁ Εἰρηναῖος (κατὰ αἱρέσ. γ΄. 3. Εὐσέβ. Ε. 6) καὶ ὁ Ἡγήσιππος (παρ' Εὐσεβ. δ΄. 22) λέγουσιν ὅτι ἡ ἔρις ἐξερράγη ἐν Κορίνθῳ ἤδη ἐπ' αὐτοῦ τοῦ Κλήμεντος, ἀλλ' οὐκ ἐπὶ τοῦ Πέτρου καὶ Παύλου. Καλῶν δ' ὁ Κλήμης ἀρχαίαν τὴν ἐκκλησίαν τῆς Κορίνθου, λέγει περὶ τῆς πρώτης ἔριδος, ὡς συμβάσης «ἐν τῇ ἀρχῇ τοῦ Εὐαγγελίου», δηλ. ἐν χρόνῳ πρὸ πολλοῦ παρελθόντι.

κλησίας. Δυσάρεστον ἦν αὐτοῖς διδάσκεσθαι ὑπ᾽ ἄλλων, ἐφ᾽ ᾧ καὶ ἠθέτησαν τὴν ὑπὸ τοῦ Κυρίου κατασταθεῖσαν τῇ ἐκκλησίᾳ εὐταξίαν, ἐκαυχῶντο δὲ καὶ ἐπὶ τοῖς χαρίσμασιν αὐτῶν· ἀλλ᾽ ἐν τούτοις ἐξέφραζον ἀμφιβολίας καὶ περὶ τοῦ δόγματος τῆς ἐκ νεκρῶν ἀναστάσεως. Μὴ εὑρίσκοντες τρόπον ἐν τῇ ἑαυτῶν ἐκκλησίᾳ πρὸςπεριστολὴν τῆς ὀλεθρίου ἀταξίας οἱ ἄριστοι τῆς ἐκκλησίας τῆς Κορίνθου, ἀπετάθησαν πρὸς τὴν τῆς Ρώμης ἐξαιτούμενοι βοήθειαν. Ὁ δὲ Κλήμης τῆς πρώτης δραξάμενος εὐκαιρίας, ὅτε αὐτὴ ἡ ρωμαϊκὴ ἐκκλησία ἤρξατο ἀπαλλάττεσθαι τοῦ δεινοῦ διωγμοῦ, ἔγραψεν ἐξ ὀνόματος αὐτῆς τῇ τῆς Κορίνθου παραινετικὴν ἐπιστολὴν (1).

Ἡ ὑπόθεσις τῆς ἐπιστολῆς ταύτης ἔχει ὧδε: μετὰ τὸν ἀσπασμόν, ἐπαινέσας τὴν πίστιν τῶν Κορινθίων, τὰς ἀρετάς, καὶ τὰ πνευματικὰ χαρίσματα, ἃ εἶχον ἐν ἀφθονίᾳ (§ 1. 2), δείκνυσιν αὐτοῖς ὡς πηγὴν τῶν ἀναφυεισῶν ἐν αὐτοῖς ἀταξιῶν—τὴν ὑπερηφανίαν: «ἔφαγε καὶ ἔπιε, καὶ ἐπλατύνθη καὶ ἐπαχύνθη ὁ ἠγαπημένος», λέγει αὐτοῖς διὰ τῶν λόγων τοῦ Μωϋσέως (Δευτερ. λβ΄. 15), καὶ προστίθησιν, ὅτι «οὕτως ἐπηγέρθησαν οἱ ἄτιμοι ἐπὶ τοὺς ἐντίμους, οἱ ἄδοξοι ἐπὶ τοὺς ἐνδόξους, οἱ ἄφρονες ἐπὶ τοὺς φρονίμους, οἱ νέοι ἐπὶ τοὺς πρεσβυτέρους» (3). Δείξας τὰς ὀλεθρίους συνεπείας τῆς ὑπερηφανίας καὶ τοῦ φθόνου ἐν τῷ παραδείγματι τοῦ Δαθὰν καὶ Ἀβειρὼν (4, 5), προτρέπει εἰς μετάνοιαν καὶ ταπείνωσιν (6-15), καὶ ἰδίως προβάλλεται παράδειγμα τὸν Κύριον, ἐκφράζων σύναμα τὴν ἀποστολικὴν πίσιν εἰς τὸν Υἱὸν τοῦ Θεοῦ καὶ εἰς τὸ ἅγιον Πνεῦμα. «Τὸ σκῆπτρον τῆς μεγαλωσύνης τοῦ Θεοῦ, ὁ Κύριος ἡμῶν Χριστὸς Ἰησοῦς, οὐκ ἦλθεν ἐν κόμπῳ ἀλαζονείας οὐδὲ ὑπερηφανίας, καίπερ δυνάμενος· ἀλλὰ ταπεινοφρονῶν, καθὼς τὸ Πνεῦμα τὸ ἅγιον περὶ Αὐτοῦ ἐλάλησεν» (15). Ἔπειτα ἐπάγεται τὴν προφητείαν τοῦ Ἡσαΐου περὶ τοῦ ταπεινοῦ θεράποντος τοῦ Ἰεχοβᾶ (Ἡσ. νγ΄.) καὶ τὸν ψαλμὸν τοῦ Δαυὶδ (ψαλ. κά. 7-8). Ἐπιπροσθεὶς δὲ καὶ ἄλλα ταπεινοφροσύνης παραδείγματα, στρέφει τὴν προσοχὴν αὐτῶν εἰς τὴν ἄπειρον ἀγαθότητα τοῦ Δημιουργοῦ καὶ Προνοητοῦ, τοῦ θέντος ἐν πᾶσιν ὡρισμένην τάξιν (19-22), καὶ λέγει: «Τοὺς προηγουμένους ἡμῶν αἰδεσθῶμεν, τοὺς

(1) Ἴδ. § 1. καὶ Εἰρην. κατὰ αἱρέσ. γ΄. 3.

πρεσβυτέρους ἡμῶν τιμήσωμεν». Διὰ δὲ τῶν ἔργων τοῦ αὐτοῦ δημιουργοῦ τῆς φύσεως καὶ τῆς εἰς τὰς ἐπαγγελίας αὐτοῦ πίστεως ἐλέγξας τοὺς περὶ ἀναστάσεως τῶν νεκρῶν ἀμφιβάλλοντας (23-28), προτρέπει αὐτοὺς ζῆν ὡς προσήκει τοῖς ἐκλεκτοῖς τοῦ Θεοῦ (29-36). Ἐπὶ δὲ τούτοις δι' ὑψηλῶν χαρακτήρων περιγράφει τὸν Λυτρωτὴν Ἰησοῦν: «Αὕτη, λέγει, ἡ ὁδὸς ἀγαπητοί, ἐν ᾗ εὕρομεν τὸ σωτήριον ἡμῶν, Ἰησοῦν Χριστόν, τὸν ἀρχιερέα τῶν προσφορῶν ἡμῶν, τὸν προστάτην καὶ βοηθὸν τῆς ἀσθενείας ἡμῶν. Διὰ τούτου ἀτενίζομεν εἰς τὰ ὕψη τῶν οὐρανῶν, διὰ τούτου ἐνοπτριζόμεθα τὴν ἄμωμον καὶ ὑπερτάτην ὄψιν Αὐτοῦ, διὰ τούτου ἀνεῴχθησαν ἡμῶν οἱ ὀφθαλμοὶ τῆς καρδίας, διὰ τούτου ἡ ἀσύνετος καὶ ἐσκοτωμένη διάνοια ἡμῶν ἀναθάλλει εἰς τὸ θαυμαστὸν αὐτοῦ φῶς, διὰ τούτου ἠθέλησεν ὁ Δεσπότης τῆς ἀθανάτου γνώσεως ἡμᾶς γεύσασθαι...» Ἐφεξῆς ἐπαναλαμβάνει τοὺς περὶ αὐτοῦ λόγους τοῦ ψαλμῳδοῦ, τοὺς μνημονευθέντας ὑπὸ τοῦ Ἀποστόλου (ψαλμ. ργ'. 4. ρθ'. 1. πρὸς Ἑβρ. ά.). Προτρέπων δὲ πρὸς τὴν τήρησιν τῆς ἐκκλησιαστικῆς ὑποταγῆς, ἐπάγει ὡς παράδειγμα τὴν στρατιωτικὴν τάξιν καὶ τὴν διάταξιν τῶν μελῶν τοῦ σώματος ἡμῶν (37-39)· ἔπειτα περιγράφει τὴν τάξιν τὴν ὑπὸ τοῦ Κυρίου καὶ τῶν Ἀποστόλων κατασταθεῖσαν, ὑποδεικνὺς ἐν ταυτῷ καὶ τὴν τῆς Παλαιᾶς Διαθήκης (40-44). «Πάντα ἐν τάξει ποιεῖν ὀφείλομεν, ὅσα ὁ Δεσπότης ἐπιτελεῖν ἐκέλευσε κατὰ καιροὺς τεταγμένους. Τάς τε προσφορὰς ([8]) καὶ λειτουργίας ἐπιτελεῖσθαι, οὐκ εἰκῆ ἢ ἀτάκτως ἐκέλευσε γίνεσθαι, ἀλλ' ὡρισμένοις καιροῖς καὶ ὥραις· ποῦ τε καὶ διὰ τίνων ἐπιτελεῖσθαι θέλει, αὐτὸς ὥρισε τῇ ὑπερτάτῃ αὐτοῦ βουλήσει· ἵν' ὁσίως πάντα τὰ γινόμενα ἐν εὐδοκιμήσει εὐπρόσδεκτα εἴη τῷ θελήματι αὐτοῦ...Τῷ γὰρ ἀρχιερεῖ ἴδιαι λειτουργίαι δεδομέναι εἰσί, καὶ τοῖς ἱερεῦσιν ἴδιος ὁ τόπος προστέτακται, καὶ λευΐταις ἴδιαι διακονίαι ἐπίκεινται· ὁ λαϊκὸς ἄνθρωπος τοῖς λαϊκοῖς προστάγμασι δέδεται... ἐξεπέμφθη ὁ Χριστὸς ἀπὸ τοῦ Θεοῦ, καὶ οἱ Ἀπόστολοι ἀπὸ τοῦ Χριστοῦ· ἐγένοντο οὖν ἀμφότερα εὐτάκτως ἐκ θελήματος Θεοῦ... Κατὰ χώρας οὖν καὶ πόλεις κηρύσσοντες

([8]) Ὁ ἅγιος Εἰρηναῖος (κατὰ αἱρ. δ'. 39.) χρῆται τῇ λέξει *Προσφορά* = θυσία ἀντὶ τῆς θυσίας τῆς Εὐχαριστίας.

καθίστανον τὰς ἀπαρχὰς αὐτῶν, δοκιμάσαντες τῷ πνεύματι, εἰς ἐπισκόπους καὶ διακόνους τῶν μελλόντων πιστεύειν . . . Καὶ οἱ Ἀπόστολοι ἡμῶν ἔγνωσαν διὰ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ὅτι ἔρις ἔσται ἐπὶ τοῦ ὀνόματος τῆς ἐπισκοπῆς. Διὰ ταύτην οὖν τὴν αἰτίαν, πρόγνωσιν εἰληφότες τελείαν, κατέστησαν τοὺς προειρημένους, καὶ μεταξὺ ἐπινομὴν δεδώκασιν, ὅπως, ἐὰν κοιμηθῶσι, διαδέξωνται ἕτεροι δεδοκιμασμένοι ἄνδρες τὴν λειτουργίαν αὐτῶν» (40, 42, 44). Ἐπὶ τέλους συμβουλεύει τοῖς ταράξασι τὴν ἡσυχίαν παύσασθαι τοῦ κακοῦ, τοῖς δ' εὖ φρονοῦσι συγκαταβαίνειν εἰς τοὺς ἐχθροὺς τῆς κοινῆς εὐπραγίας. Ἐν τοιούτῳ πνεύματι ἐξεικονίζονται αἱ ὑψηλαὶ ἰδιότητες τῆς ἀγάπης, οὔσης ἀγνώστου τοῖς ἐθνικοῖς (45-56). «Ὑμεῖς οὖν οἱ τὴν καταβολὴν τῆς στάσεως ποιήσαντες ὑποτάγητε τοῖς πρεσβυτέροις, καὶ παιδεύθητε εἰς μετάνοιαν κάμψαντες τὰ γόνατα τῆς καρδίας ὑμῶν. Μάθετε ὑποτάσσεσθαι, ἀποθέμενοι τὴν ἀλαζόνα καὶ ὑπερήφανον τῆς γλώσσης ὑμῶν αὐθάδειαν» (57). Ἡ ἐπιστολὴ καταλήγει εἰς προσευχὴν ὑπὲρ τῶν Κορινθίων καὶ δέησιν, ἵνα ταχέως ἀναγγείλωσιν αὐτῷ περὶ τοῦ ἀποτελέσματος τῆς ἐπιστολῆς (58, 59).

Ἡ ὑπόθεσις δείκνυσιν, ὅτι ἡ ἐπιστολή ἐστι πάνυ σπουδαία εἴς πρὸς τὴν δογματικὴν διδασκαλίαν, ἰδίως δὲ ὡς πρὸς τὴν περὶ τῆς ἐκκλησιαστικῆς ἱεραρχίας καὶ τῶν μυστηρίων (¹), περὶ τοῦ Λυτρωτοῦ Υἱοῦ τοῦ Θεοῦ (²), περὶ τῆς ἀναστάσεως τῶν νεκρῶν (α), περὶ τῆς κανονικῆς ἀξίας τῆς ἁγίας Γραφῆς (³). Ἐν αὐτῇ ἐκτίθενται καὶ

(¹) ἴδ. § 21,40,42,44,51,52.

(²) ἴδ. § 2,16,33,36,49,50.

(α) ἴδ. § 24-27.

(³) Ἐκτὸς τῶν τῆς Π. Δ. βιβλίων καὶ τῆς πρὸς Ἑβραίους ἐπιστολῆς (10, 38) ὁ ἅγιος Κλήμης ἐπαναλαμβάνει λέξεις (13) ἐκ τοῦ Εὐαγγελίου τοῦ Ματθαίου ζ'. I. καὶ τοῦ Λουκᾶ ς'. 36,38, ἐκ τῶν πράξεων τῶν Ἀποστόλων (2), ἐκ τῆς πρὸς Ρωμαίους ἐπιστολῆς (35), ἐκ τῶν δύο πρὸς Κορινθίους (47,36,56,30,21), ἐκ τῆς Α΄. πρὸς Θεσσαλονικεῖς (38) καὶ καθ., καί, ὅπερ ἰδίως ἐστὶν ἀξιοσημείωτον, ἀναφέρει χωρία οὐ μόνον ἐκ τῆς Α΄. ἐπιστολῆς τοῦ Ἀποστόλου Πέτρου (2,49.38), ἀλλὰ καὶ ἐκ τῆς Β΄. (§ 7. ἴδ. Β΄. Πέτρου β΄. 5. § 11. Πέτρ. Β΄. β΄. 6, 9), καὶ ἐκ τῆς ἐπιστολῆς τοῦ Ἰακώβου (§10. καὶ 17. πρβλ. Ἰακώβου β΄. 23. § 23. πρβλ. Ἰακώβου ά. 18. § 30. Ἰακώβ. δ΄.6. β΄. 21 § 49. Ἰακωβ. έ. 20). Ἐν τῇ § 47 λόγον ποιούμενος περὶ τοῦ σχίσματος τῶν Κορινθίων, γράφει: «Ἀναλάβετε τὴν ἐπιστολὴν τοῦ μακαρίου Παύλου τοῦ Ἀποστόλου. Τί πρῶτον ὑμῖν ἐν ἀρχῇ τοῦ Εὐαγγελίου ἔγραψεν; Ἐπ' ἀληθείας πνευματικῶς ἐπέστειλεν ὑμῖν.» Ἐν τῇ § 45 λέγει: «Ἐγκύπτετε εἰς τὰς Γραφάς, τὰς ἀληθεῖς [ῥήσεις] Πνεύματος τοῦ ἁγίου. Ἐπίστασθε, ὅτι οὐδὲν ἄδικον, οὐδὲ παραπεποιημένον γέγραπται ἐν αὐταῖς».

τὰ κύρια καθήκοντα τοῦ χριστιανοῦ, κατ' ἐξοχὴν δὲ ἡ ἀγάπη καὶ ἡ ταπεινοφροσύνη (¹).

§ 18. *Ἡ δευτέρα πρὸς Κορινθίους ἐπιστολὴ καὶ δύο ἄλλα συγγράμματα οὐκ ἀνήκοντα εἰς αὐτόν.*

Ἐκτὸς τῆς πρώτης ἐπιστολῆς ἀφίκετο μέχρις ἡμῶν ἑτέρα ἐπιστολὴ τοῦ Κλήμεντος πρὸς Κορινθίους, ἀλλ' οὐκ ἀκεραία. Ὁ Εὐσέβιος γράφει περὶ τῆς ἐκκλησιαστικῆς αὐτῆς σημασίας τάδε: «Ἰστέον δ' ὡς καὶ δευτέρα τις εἶναι λέγεται τοῦ Κλήμεντος ἐπιστολή· οὐ μὴν ἔθ' ὁμοίως τῇ προτέρᾳ καὶ ταύτην γνώριμον ἐπιστάμεθα, ὅτι μηδὲ καὶ τοὺς ἀρχαίους αὐτῇ κεχρημένους ἴσμεν» (²). Τὸ αὐτὸ λέγουσι καὶ ἄλλοι (³). Ἐν τῇ ἐπιστολῇ ταύτῃ ὁ ἅγιος Κλήμης διδάσκει, ὅτι δεῖ ἡμᾶς φρονεῖν περὶ Ἰησοῦ Χριστοῦ, ὡς περὶ Θεοῦ, ὡς περὶ κριτοῦ ζώντων καὶ νεκρῶν· καὶ οὐ δεῖ ἡμᾶς μικρὰ φρονεῖν περὶ τῆς σωτηρίας ἡμῶν.» Παραινεῖ εὐγνωμονεῖν αὐτῷ, ὡς ἀναγαγόντι ἡμᾶς ἐκ τοῦ σκότους τοῦ ἐθνισμοῦ εἰς τὸ φῶς τοῦ Θεοῦ, τὴν δ' εὐγνωμοσύνην ὀφείλομεν δεικνύναι οὐ μόνον τῇ εἰς Αὐτὸν πίστει, ἀλλὰ κατ' ἐξοχὴν τῇ ἐκπληρώσει τῶν ἐντολῶν Αὐτοῦ. Ἐπὶ δὲ τούτοις λέγει, ὅτι ἡ ἀνθρωπίνη ζωὴ διήρηται εἰς δύο αἰῶνας πρὸς ἀλλήλους μαχομένους, εἰς τὸν παρόντα αἰῶνα καὶ εἰς τὸν μέλλοντα. Τούτων ὁ μὲν πρῶτος κηρύττει τὴν ἀσέβειαν, ὁ δὲ δεύτερος ἐπιτάσσει τὴν ἀπάρνησιν αὐτῆς. Ὁ πρῶτός ἐστιν αἰὼν μετανοίας, καὶ ἐν αὐτῷ δυνάμεθα πάντα ποιεῖν πρὸς ἀπαλλαγὴν ἀπὸ τῆς θείας ὀργῆς, τῆς ἐν τῷ μέλλοντι ἐπικειμένης. Ἐν τεμαχίῳ τῆς ἐπιστολῆς ταύτης ἐξει-

---

(¹) Ἴδ. κεφ. 16-21, 49-50.

(²) Ἐκκλ. ἱστορ. γ'. 38.

(³) Ὁ Ἱερών. de vir illustr. c. 15. «Fertur et secunda ejus nomine epistola, quae a veteribus reprobatur». Οἱ λόγοι οὗτοι, ὡς πρόδηλον, εἰσὶν ἐπανάληψις τῶν τοῦ Εὐσεβίου. Διὸ τὴν αὐτὴν ἔχουσι σημασίαν. Ὁ Φώτιος λέγει: «Ἡ δὲ λεγομένη δευτέρα πρὸς τοὺς αὐτοὺς [τοὺς Κορινθίους], ὡς νόθος ἀποδοκιμάζεται» (ἀνάγν. ριγ'.). Ἐν τῷ τελευταίῳ ἀποστολικῷ κανόνι μνημονεύονται αἱ δύο τοῦ Κλήμεντος ἐπιστολαί. Ἐν τῷ μνημονευθέντι ἀλεξανδρινῷ κώδηκι ἡ μὲν Α. ἐπιγράφεται. «Κλήμεντος πρὸς Κορινθίους ἐπιστολὴ Α.» ἡ δὲ Β'. «Κλήμεντος ἐπιστολὴ Β'.»

κονίζεται ἡ θεία φύσις τοῦ Πνεύματος τοῦ Θεοῦ, καὶ αἱ ἐνέργειαι αὐτοῦ ὡς ἁγιάζοντος τὰς καρδίας. Τὸ Πνεῦμα τοῦτο, λέγει, ἐστὶν ἅγιον καὶ δίκαιον· ἐκπορεύεται ἐκ τοῦ Πατρός, ἐστιν αὐτοῦ δύναμις, αὐτοῦ βούλησις, καὶ δείκνυσιν ἐν ἑαυτῷ τὸ πλήρωμα τῆς δόξης αὐτοῦ (1).

Κατὰ τὴν παρελθοῦσαν ἑκατονταετηρίδα ἐξεδόθησαν ἔτι δύο ἐπιστολαὶ πρὸς παρθένους τοῦ ἁγίου Κλήμεντος ὑπὸ τοῦ Ἰωάννου Βεττεστενίου (2). Ἐν τῇ πρώτῃ ἐπαινεῖται ὁ παρθενικὸς βίος καὶ δείκνυται ἡ ἀξία αὐτοῦ. Ἡ παρθενία, λέγει ὁ διδάσκαλος, συνίσταται οὐ μόνον εἰς τὴν σωματικὴν καθαρότητα, ἀλλὰ καὶ εἰς τὴν τῆς καρδίας. Ἡ δευτέρα περιέχει κανόνας καὶ διδασκαλίας εἰς τοὺς ἀθλητὰς τῆς παρθενίας. Ἡ γνησιότης τῶν ἐπιστολῶν τούτων ἀμφίβολος· ἀλλὰ περὶ παρθενίας ἔγραψε καὶ ὁ Ἀπόστολος Παῦλος. Ἐν αὐταῖς διαλάμπει ἁπλότης καὶ ὕψος, ὡς καὶ ἐν ταῖς ἄλλαις δυσὶν αὐτοῦ ἐπιστολαῖς. Εἰσὶν ἐν αὐταῖς χωρία τινὰ πάντῃ ὅμοια ταῖς διδασκαλίαις τῆς Α΄. πρὸς Κορινθίους ἐπιστολῆς αὐτοῦ (3). Κατὰ τὸν Ἱερώνυμον, ὁ ἅγιος Κλήμης ἔγραψεν «ἐπιστολὴν πρὸς εὐνούχους, εὐνουχίσαντας ἑαυτοὺς διὰ τὴν βασιλείαν τοῦ Θεοῦ», ἔνθα γίγνεται λόγος περὶ καθαρότητος τῆς παρθενίας (4)· κατὰ δὲ τὸν Ἐπιφάνιον, ἐδίδαξε τὴν παρθενίαν καὶ ἐνεκωμίασε Ἠλίαν, καὶ Δαυΐδ, καὶ Σαμψών, καὶ πάντας τοὺς Προφήτας (5)· πάντα δὲ ταῦτα ὁρῶμεν ἐν ταύταις ταῖς ἐπιστολαῖς (6).

---

(1) Ἴδ. Grabii Spicilegium Patr. P. I. p. 268, 288, 300. *Coteleri* Patr. Ἀpost. I. p. 498.

(2) Novum Testamentum graecum cum lectionibus variantibus commentario pleniore ex Scriptoribus Hebraeis, graecis, et Latinis, Amstelodamis 1751.

(3) Ἴδ. Α. πρὸς Κορινθ. § 27. καὶ Α. ἐπ. πρὸς Παρθέν. § 4. Α. πρὸς Κορ. § 4. καὶ Α. πρὸς Παρθέν. § 8.

(4) Contr. jovinianum lib. I. c. 7. «Ad hos (Eunuchos) et Clemens, successor Apostoli Petri, cujus Paulus Apostolus meminit, (Philip. iv. 3) scripsit epistolas, omnemque pene sermonem suum de viginitatis pnritate contexuit».

(5) Αἱρ. λ΄. 15. «Αὐτὸς Κλήμης αὐτοὺς (τοὺς Ἐβιωναίους) κατὰ πάντα ἐλέγχει, ἀφ᾽ ὧν ἔγραψεν ἐπιστολῶν ἐγκυκλίων, τῶν ἐν ταῖς ἁγίαις ἐκκλησίαις ἀναγινωσκομένων, ὅτι ἄλλον ἔχει χαρακτῆρα ἡ ἑαυτοῦ πίστις καὶ ὁ λόγος, παρὰ τὰ ὑπὸ τούτων εἰς ὄνομα αὐτοῦ ἐν ταῖς *Περιόδοις* νενοθευμένα· αὐτὸς γὰρ παρθενίαν διδάσκει, καὶ αὐτοὶ οὐ δέχονται· αὐτὸς γὰρ ἐγκωμιάζει Ἠλίαν καὶ Δαυΐδ καὶ Σαμψών, καὶ πάντας τοὺς προφήτας, οὓς αὐτοὶ βδελύττονται.»

(6) Περὶ παρθενίας γίγνεται λόγος ἐν πᾶσι τοῖς κεφαλαίοις ἀμφοτέρων τῶν ἐπιστολῶν, (ἐξαιρουμένων τοῦ ιδ΄. καὶ ιέ. τῆς Α. ἐπιστολῆς). Παραδείγματα τῶν ἀρχαίων ἐν τῇ Α΄. ἐπ. 6. ἐν τῇ Β΄. 20.

Ὑπὸ τὸ ὄνομα τοῦ ἁγίου Κλήμεντός εἰσι γνωστὰ οὐκ ὀλίγα συγγράμματα, ἐξ ὧν τινὰ οὐδόλως, τινὰ δὲ αὐτῶν κατὰ μέρη ἀνήκουσιν εἰς αὐτόν. Τοιαῦτα δέ εἰσι:

α) Αἱ διαταγαὶ τῶν ἁγίων Ἀποστόλων, διὰ Κλήμεντος τοῦ Ρωμαίων ἐπισκόπου τε καὶ πολίτου, ἡ καθολικὴ διδασκαλία (¹) ἐν ὀκτὼ βιβλίοις, σύγγραμμα λίαν ἀξιοσημείωτον διὰ τὴν ἱστορίαν τῆς ἀρχαίας εὐταξίας καὶ τῶν τελετῶν, καίπερ μὴ συγγραφὲν ὑπὸ τοῦ ἁγίου Κλήμεντος. Τὰ πρῶτα ἓξ βιβλία συνιστᾶσιν ἴδιον ὅλον—ὑπὸ τὸ ὄνομα διδασκαλία, ὡς ὁρᾶται ἔκ τε τῆς ἐσωτερικῆς ὕλης αὐτῶν (²), καὶ ἐκ τῶν ἐξωτερικῶν ἀναμφιβόλων γνωρισμάτων, οἷα α) ὁ ἐπίλογος ἐν τῷ τέλει τοῦ ς΄. βιβλίου· β) τὸ ὄνομα διδασκαλία, ἀποδιδόμενον αὐτοῖς τοῖς βιβλίοις ἐν αὐτοῖς τούτοις (³)· γ) τὰ ἀπόγραφα τῶν αὐτῶν ἓξ βιβλίων ὑπὸ τὸ ὄνομα διδασκαλία ἐν ταῖς συριακαῖς, ἀραβικαῖς καὶ

(¹) Ἡ ἐπιγραφὴ παντὸς τοῦ συγγράμματος ἐν τῷ τελευταίῳ ἀποστολικῷ κανόνι· παρὰ Φωτίῳ (ἀνάγν. 112, 113). Νεώταται καὶ ἄρισται ἔρευναι περὶ τοῦ συγγράμματος τούτου. *Krabbe* ub. d. Ursprung u. d. Inhalt d. app. Constitutionen d. Clemens. Hanb. 1829. *Dreg* Untersuchungen üb. d. Constitutionen und Canones d. Apostel. Tübingen 1830). (Ὁ τελευταῖος ἔγραψεν ἀνεξαρτήτως τοῦ πρώτου, ἀλλὰ συνῳδὰ τῷ Krabbe.) *Bickel* Geschichte d. Kirchenrechts, Giessen 1843. S. 62 70. 144-177.

(²) Αἱ ἐπιγραφαὶ τῶν ἓξ βιβλίων 1) περὶ λαϊκῶν· 2) περὶ ἐπισκόπων, πρεσβυτέρων, καὶ διακόνων· 3) περὶ χηρῶν· 4) περὶ ὀρφανῶν· 5) περὶ μαρτύρων· 6) περὶ σχισμάτων. Ἐνταῦθα φαίνεται ἓν ὅλον. Τὸ δὲ ζ΄. καὶ ή. βιβλ. περιέχουσι καὶ ἀντιφάσεις πρὸς τὰ 6 βιβλία. Ἡ διδασκαλία *περὶ δεκατῶν* ἐν τῷ β΄. βιβλίῳ (2, 25, 28), ἐν τῷ ἑβδόμῳ (7, 29) καὶ ὀγδόῳ (8, 30) πολλάκις ἐστὶ διάφορος, ἐν μέρει δὲ οὐδόλως συμφωνεῖ τῇ ὑποθέσει. Ἐν τῷ ς΄. καὶ ή. βιβλ. (6, 14. 8, 25) Ἰάκωβος ὁ ἀδελφὸς τοῦ Κυρίου παρίσταται ζῶν· ἐν δὲ τῷ ή. (ή. 46) ἀναφέρονται δύο διάδοχοι αὐτοῦ Dreg. S. 48. f. Τὸ ἕβδομον βιβλίον ἀφορᾷ κυρίως εἰς τοὺς ἐπισκόπους (ζ΄. 3), τὰ δὲ προηγούμενα ἀφορῶσιν εἰς πᾶσαν τὴν ἐκκλησίαν.

(³) Ἴδ. ά. 1, 2, 39. ς΄. 14, 18. Κατὰ τὰ ἀπόγραφα τῆς κοϊσλινιανῆς καὶ βιεν. βιβλιοθ. τὸ ά. κεφ. τοῦ ά. βιβλίου ἄρχεται: *Καθολικὴ διδασκαλία περὶ λαϊκῶν*. Τοὐναντίον δὲ ἐν τῷ τέλει τοῦ ζ΄. βιβλ. κατὰ τὰ αὐτὰ ἀπόγραφα *διαταγαί*.

αἰθιοπικαῖς συλλογαῖς τῶν ἐκκλησιαστικῶν κανόνων ([1]). Ἐπειδὴ δὲ ἡ ὑπόθεσις τῆς διδασκαλίας συμφωνεῖ τοῖς λεγομένοις περὶ τῆς καταστάσεως τῆς ἐκκλησίας ὑπὸ τῶν Πατέρων τοῦ β'. καὶ γ'. αἰῶνος, ὡς π. χ. γίγνεται ἐνταῦθα λόγος περὶ τῶν διωγμῶν τῶν ἐθνικῶν κατὰ τῶν χριστιανῶν ([2]), ἐκ τῶν αἱρετικῶν μνημονεύονται οἱ Ἐβιωναῖοι, ἰδίως δὲ ὁ Οὐαλεντῖνος καὶ ὁ Μαρκίων, ὧν ἡ διδασκαλία κατ' ἐξοχὴν ἐπεκράτει ἐν τῇ ἀρχῇ τοῦ γ'. αἰῶνος ([3]), ἀπαιτεῖται τὸ βάπτισμα τῶν αἱρετικῶν, ὡς ἀπήτουν ὁ Φιρμιλιανὸς καὶ ὁ Κυπριανὸς ([4]), ἐντεῦθεν δικαίως συμπεραίνουσιν, ὅτι ἐγράφη κατὰ τὸν γ'. αἰῶνα ([5]). Ὡς ἀπόδειξις τούτου χρησιμεύει καὶ ὅτι μεταξὺ τῶν ἀρχαίων ὁ ἅγιος Ἐπιφάνιος πρῶτος ἀναφέρει χωρία ἐκ τῶν ἓξ

([1]) Πρῶτος ὁ *Βίκκελος* ἐξήτασεν ἐκ χειρογρ. τὴν συρ., ἀραβ., καὶ αἰθιοπ. μετάφρ. Gesch. d. Kirchenrechts S. 144-177). Τὸ ἐξαγόμενον τῶν ἐρευνῶν αὐτοῦ τό δε: α) ἡ ὑπόθεσις τῆς *διδασκαλίας* ἐν ταῖς ἀνατολ. μεταφράσεσίν ἐστιν ἡ αὐτὴ τῇ τῶν βιβλίων τῆς ἑλλην. *διδασκαλίας*· β) ἐν τῇ συρ. μεταφράσει ἐνιαχοῦ συνετμήθη τὸ γνήσιον κείμενον· ἡ ἀραβ. καὶ ἡ αἰθιοπ. ἐκφράζουσιν ἀκριβῶς τὴν ἔννοιαν τῶν λέξεων τοῦ ἑλλην. κειμένου, ἀλλ' ἐν αὐταῖς ἐναντίον τοῦ ἑλλην. καὶ συρ. κειμένου προσετέθη προοίμιον. Ὁ αὐτὸς Βίκκελος παράγει καὶ πολλὰ χωρία ἐκ τῶν μεταφράσεων, παραβάλλων πρὸς τὸ ἑλλην. κείμενον. Ἡ εἰς ἓξ βιβλία διαίρεσις οὐκ ἔστιν ἐν ταῖς μεταφρ., ἀλλὰ τὸ σύγγραμμα διῄρηται μόνον εἰς κεφάλαια.

([2]) Ἴδ. δ'. 9. ε'· 3. γ'. 12-15, β'. 46, 52, 62. Ἀλλὰ περὶ τῶν χριστιανῶν αὐτοκρατόρων καὶ τῆς διοικήσεως αὐτῶν οὐδ ὑπαινιγμὸς ὑπάρχει.

([3]) ς'. 1-61. Dreg S. 65-70.

([4]) Ἴδ. ς'. 15. ε. 6.

([5]) Ὁ Φώτιος λέγει. «Αἱ δέ γε διαταγαὶ τρισὶ μόνοις δοκοῦσιν ἐνέχεσθαι: κακοπλαστίᾳ, ἣν οὐ χαλεπὸν ἀποσκευάσασθαι· καὶ ὅτι καὶ τοῦ Δευτερονομίου ὕβρεις τινὰς ἐπαφίησιν, ἃ καὶ ῥᾷστον διαλύσασθαι· καὶ ἔτι ἀρειανισμῷ, ὅπερ ἄν τις καὶ βιαίως διακρούσαιτο» ἀνάγν. ριβ'. ριγ'.). Ἀλλ' ἐν αὐταῖς ἀπαντῶσι καὶ ἔννοιαι οὐδόλως σύμφωνοι τῷ ἀρειανισμῷ· τὸ ἀόριστον δὲ τῶν ἐκφράσεων περὶ τοῦ Υἱοῦ τοῦ Θεοῦ οὐ διαφέρει τοῦ τῶν διδασκάλων τῶν τριῶν πρώτων αἰώνων· *Dreg* S. 64, 93, 122, 177, 192.

βιβλίων τῆς διδασκαλίας (¹). Ὅσον δ' ἀφορᾷ εἰς τὸν Ρώμης ἅγιον Κλήμεντα, ἐπ' οὐδενὶ λόγῳ δύναται ἀποδοθῆναι αὐτῷ ἡ διδασκαλία αὕτη, ὡς δείκνυσιν ἡ ὑπόθεσις αὐτῆς (²). Τὸ ἕβδομον καὶ ὄγδοον

(¹) Αἱρέσ. μέ. 6. «Ἀλλὰ καὶ οἱ Ἀπόστολοί φασιν ἐν τῇ *Διατάξει* τῇ καλουμένῃ, ὅτι φυτεία Θεοῦ καὶ ἀμπελὼν ἡ καθολικὴ ἐκκλησία». πρβλ. Διατ. Ά. ά. 5, 13. 15, 18-20. Αἱρέσ. ό. 10. «Εἰς τοῦτο δὲ οἱ αὐτοὶ Αὐδιανοὶ παραφέρουσι τὴν τῶν Ἀποστόλων Διάταξιν, οὖσαν μὲν τοῖς πολλοῖς ἐν ἀμφιλέκτῳ, ἀλλ' οὐκ ἀδόκιμον. Πᾶσα γὰρ ἐν αὐτῇ κανονικὴ τάξις ἐμφέρεται, καὶ οὐδὲν παρακεχαραγμένον τῆς πίστεως, οὐδὲ τῆς ὁμολογίας, οὐδὲ τῆς ἐκκλησιαστικῆς διοικήσεως καὶ κανόνος, καὶ πίστεως. Τὸ δὲ ῥητόν, ἀφ' οὗ γνώμην λαμβάνοντες περὶ τοῦ Πάσχα, κακῶς παρερμηνεύουσιν οἱ προειρημένοι, καὶ ἀγνοοῦντες ἑτέρως ὑπολαμβάνουσιν. Ὁρίζουσι γὰρ ἐν τῇ αὐτῇ διατάξει οἱ Ἀπόστολοι, *ὅτι ὑμεῖς μὴ ψηφίζετε, ἀλλὰ ποιεῖτε*. . . *μετ' αὐτῶν ἅμα ποιεῖτε*. Καὶ οὐκ εἶπαν, *ὅταν οἱ ἀδελφοὶ ὑμῶν οἱ ἐν περιτομῇ· ἀλλά· οἱ ἐκ περιτομῆς·* ἵνα δείξωσι τοὺς ἀπὸ τῆς περιτομῆς εἰς τὴν ἐκκλησίαν μετελθόντας, ἀρχηγοὺς εἶναι μετ' ἐκεῖνον τὸν χρόνον . . . Παρὰ τοῖς Ἀποστόλοις δὲ τὸ ῥητὸν δι' ὁμόνοιαν ἐμφέρεται, ὡς ἐπιμαρτυροῦσι, λέγοντες, ὅτι *κἄν τε πλανηθῶσι, μηδὲ ὑμῖν μελέτω·* ἐξ αὐτῶν δὲ τῶν ἐκεῖσε εἰρημένων ῥητῶν ἡ ἀντίθεσις ὀφθήσεται. Φάσκουσι γὰρ τὴν ἀγρυπνίαν φέρειν, μεσαζόντων τῶν ἀζύμων. Οὐ δύναται δὲ τοῦτο πάντοτε γενέσθαι ἐν τῇ ψήφῳ τῇ ἐκκλησιαστικῇ·» πρβλ. Διαταγ. βιβλ. δ΄, κεφ. 17 καὶ 19. Τὰ ὑπὸ τοῦ Ἐπιφανίου ἀναφερόμενα ἐκ τῶν ἀποστ. Διατάξ. χωρία περὶ τῆς ἑορτῆς τοῦ Πάσχα εἰσὶν ὅλως διάφορα τῶν ἀναγινωσκομένων ἐν τῇ Διατ. Έ. 17 ἔν τε τῇ ἑλλην. καὶ ταῖς ἀνατολ. μεταφρ. Τὸ τελευταῖον ἐξήρτᾶτο ἀναμφιβόλως ἀπὸ τοῦ συλλογέως τῶν 8 βιβλίων. Καί τοι ὁ Ἐπιφάνιος καλεῖ τὸ σύγγραμμα *Διατάξεις*, ἀλλ' ὅμως ὁ αὐτὸς γράφει: « ἐν ταῖς Διατάξεσι τῶν Ἀποστόλων λέγει ὁ θεῖος λόγος καὶ ἡ διδασκαλία. . .» (αἱρέσ. π΄. 7).

(²) Ἐνταῦθα λέγεται τὸ ἐναντίον ἐκείνου, περὶ οὗ γράφει ὁ ἅγιος Κλήμης ἐν τῇ ἐπιστ. (πρβλ. § 25. Διατάξ. Έ. 9. Ἐνταῦθα ὁ Ἀπόστολος Πέτρος διδάσκει (ς΄. 8), ὅτι ὁ Βασιλείδης καὶ ὁ Σατουρνῖλος κατῆρξαν ἐκτύπων δογμάτων,- ἐν ᾧ οἱ αἱρετικοὶ οὗτοι ἤκμασαν μετὰ τοὺς ἀποστολικοὺς χρόνους· αἱ Διατάξεις διδάσκονται ὑπὸ τῶν δώδεκα Ἀποστόλων *ἐνώπιον τοῦ Παύλου καὶ τῶν ἑπτὰ διακόνων*, ἐν ᾧ ὁ Στέφανος ἐφονεύθη πρὸ τῆς ἐπιστροφῆς τοῦ Παύλου.

βιβλίον τῶν Διαταγῶν συνελέγησαν ἐκ διαφόρων μερῶν. Ὡς βάσις τοῦ ἑβδόμου βιβλίου ἐχρησίμευσαν αἱ Διαταγαὶ καὶ οἱ ἐκκλησιαστικοὶ κανόνες τῶν ἁγίων Ἀποστόλων διὰ Κλήμεντος, γνωστοὶ μέχρι τοῦ νῦν ἔν τε τῇ ἑλληνικῇ γλώσσῃ καὶ ἐν τῇ αἰθιοπ. καὶ ἀραβ. μεταφράσει (1). Αἱ διαταγαὶ αὗται συνετάχθησαν μετὰ τὴν ἐπιστολὴν τοῦ Βαρνάβα (2), καὶ βεβαίως περὶ τὰς ἀρχὰς τοῦ γ'. αἰῶνος (3). Ὡς βάσις τοῦ ὀγδόου βιβλίου ἐχρησίμευσαν ἡ διδασκαλία καὶ αἱ διατάξεις τῶν ἁγίων Ἀποστόλων διὰ Ἱππολύτου, συγγραφεῖσαι ὑπὸ τοῦ ἁγίου Ἱππολύτου ἐν τῇ ἀρχῇ τοῦ τρίτου αἰῶνος (4). Ἄγνωστος συλλογεὺς συνήνωσε τὴν διδασκαλίαν καὶ τὰς διαταγὰς ἢ διατάξεις ἐν ἑνὶ ὅλῳ εἰς ὀκτὼ βιβλία. Ὡς δὲ οἴκοθεν ἐννοεῖται, ὑπέστη πολλὰς μεταβολὰς (5). Ὁ συλλογεὺς ἔγραψε τὸ ὅλον αὐτοῦ ἐν Συρίᾳ, ἔνθα συνετάχθη καὶ ἡ Διδασκαλία (6), καὶ τέλος οὐ

(1) Τὸ ἑλληνικὸν κείμενον παρεβλήθη τὸ πρῶτον πρὸς τὴν αἰθιοπικὴν μετάφρασιν ὑπὸ τοῦ Βικκέλου (Gesch. d. Kirchenr. S. 107-132 περὶ τοῦ χειρογρ. S. 88. 180. f.).

(2) Οἱ ἠθικοὶ κανόνες τῶν Διατάξεων εἰσὶ πάνυ ὅμοιοι τῷ ἠθικῷ μέρει τῆς ἐπιστ. τοῦ Βαρνάβα. Bickel. S. 9-92.

(3) Μεταξὺ τῶν Ἀποστόλων διακρίνεται τοῦ Ἀποστ. Πέτρου ὁ Ἀπόστολος Κηφᾶς· Τὴν διάκρισιν ταύτην ἐποιεῖτο καὶ Κλήμης ὁ Ἀλεξανδ. (Παρ' Εὐσεβ. ἐκκλ. Ἱστ. ά. 12) ἀναφερόμενος εἰς τὴν πρὸς Γαλ. β'. 11,14. ἀλλ' οὐδεὶς μετὰ τὸν Κλήμεντα. Ἴδ. Εὐσέβ. ἐκκλ. ἱστ. ά. 12. Πιθανόν, ὅτι τὸ σύγγραμμα τοῦτο εἶχον ὑπ' ὄψιν οἱ ἀρχαῖοι λέγοντες: *Διδαχὴ τῶν Ἀποστόλων*· ὁ Εὐσέβιος τάσσει αὐτὸ ἐντοῖς ἀμφιβόλοις (ἐκκλ. ἱστορ. γ'. 25) πρὸ τῆς φερομένης ἐπιστολῆς τοῦ Βαρνάβα (πρβλ. σημ. 35), ὁ Ἀθανάσιος ἐν τῇ ἑορτ. ἐπιστ. T. 2. edit. Paris. p. 39, 40) τάσσει αὐτὸ ἐν τοῖς ἀποκρύφοις ἐξίσου τῷ *Ποιμένι* τοῦ Ἑρμᾶ.

(4) Ἴδ. ἐν τῷ περὶ τοῦ ἁγ. Ἱππολύτου ἄρθρῳ.

(5) Ἴδ. σημ. 29,36. Ἰδίως πολλὰς μεταβολὰς ἐποιήσατο ὁ συλλογεὺς ἐν τῷ ζ'. καὶ ή. βιβλίῳ, ὡς δηλοῦται ἐκ τῆς πρὸς τὰς πηγὰς παραβολῆς.

(6) Τοῦτο δηλοῦται ἐκ τῆς συρ. ὀνομασίας τῶν μηνῶν, ἐκ τῆς δεήσεως ὑπὲρ τοῦ ἐπισκ. Ἀντιοχείας Εὐοδίου (ή. 10), ἐκ τῆς ὁμοιότητος τῆς Διδασκαλίας πρὸς τὸ παραλλαγὲν κείμενον τῶν ἐπιστ. τοῦ ἁγίου Ἰγνατίου (Διάτ. ς'. 2. πρὸς Μαγν. §3. Διάτ ς' 5. πρὸς Φιλαδ. δ'. 2. Διάτ. ς'. 8. πρὸς Φιλιπ. δ'. πρὸς Φιλαδ. ς'. Τραλ. ιά. Διατ. ς'. 10. Σμυρν. ς'. Διατ. ς'. 13. Φιλαδ. β'. γ'. Διατ. β'. I. 21, 26. Μαγν. γ'. ς'. Σμυρν. Θ'. δ'.), ὡσαύτως καὶ ἐκ τῆς ἰδίας χρήσεως αὐτῆς ἐν ταῖς ἀνατολ. ἐκκλησίαις.

βραδύτερον, ἢ ἐν τῷ τέλει τοῦ τρίτου αἰῶνος (1). Τὴν ἀξίαν ἁπάσης τῆς συλλογῆς τῶν ἀποστολικῶν Διαταγῶν δυνατὸν δηλῶσαι τοῖς λόγοις τοῦ ἁγίου Ἐπιφανίου: «. . . τῶν Ἀποστόλων Διάταξιν οὖσαν μὲν τοῖς πολλοῖς ἐν ἀμφιλέκτῳ, ἀλλ' οὐκ ἀδόκιμον. Πᾶσα γὰρ ἐν αὐτῇ κανονικὴ τάξις ἐμφέρεται, καὶ οὐδὲν παρακεχαραγμένον τῆς πίστεως, οὐδὲ τῆς ὁμολογίας, οὐδὲ τῆς ἐκκλησιαστικῆς διοικήσεως, καὶ κανόνος, καὶ πίστεως» (2).

β) Οἱ πέ. τῶν Ἀποστόλων κανόνες, οἱ διὰ Κλήμεντος μεταδοθέντες (3), ἐξαιρέσει ὀλίγων ἀνήκουσιν εἰς τοὺς πρώτους αἰῶνας τοῦ χριστιανισμοῦ. Τούτων τινὲς ἐπαναλαμβάνουσι τοὺς ἐν ταῖς ἐπιστολαῖς τῶν Ἀποστόλων (4). Τινὲς ἐκ τοῦ πνεύματος αὐτῶν ἀνήκουσιν εἰς χρόνους ἐγγυτάτους τῶν Ἀποστόλων (5). Τινῶν τού-

(1) Ἴδ. σημ. 36, 49. Ὁ πρεσβύτερος Τιμόθεος (τῷ 511) ἀναφέρει λέξεις ἐκ τοῦ ἕκτου βιβλίου τῶν ἀποστολ. Διατάξεων. «Ἄκουε τῶν ἀποστολικῶν· ὁρᾶτε τὰ ἐπ' ὀνόματι κτλ.» (Coteler. I. 192). Μάξιμος ὁ ὁμολογητὴς ἀναφέρει τὸ ἕβδομον βιβλίον τῶν ἀποστολ. Διατ. «Ἱεροθέτην δὲ καλεῖ τὸν ἅγιον Ἀπόστολον Παῦλον, ὡς ἐγχειρίσαντα αὐτῷ τὴν ἀρχιερωσύνην τῆς ἐκκλησίας τῶν Ἀθηνῶν, καθὼς ἐν ταῖς ἱεραῖς τῶν Ἀποστόλων γέγραπται διαταγαῖς» (κεφ. ϐ'. περὶ τῆς ἐκκλ. ἱεραρχ. καὶ ἐν τῷ προλ.) Ἄγνωστος λατῖνος ἑρμηνευτὴς τοῦ ἁγ. Ματθαίου, ἀκμάσας πιθανῶς πρὸ τοῦ ἕκτου αἰῶνος ἀναφέρει τὸ ή. βιβλίον: καὶ Canones Apostolorum (ad Math. XXV. 18). Ἴδ. Crabbe s. s. 67. Fabric. Bibl. gr. VII, 25. ed. Harl. χωρία τῶν μεταγενεστέρων κανονιστῶν (σημ. 31) παρὰ τῷ Κοτελερίῳ (Patr. Apost. I, 192), παρὰ τῷ Μοντφαουκονίῳ (bibl. Coislin. p. 111), παρὰ τῷ Φαβρικίῳ (Bibl. gr. VII. 22. XI, 517,584. ed Harl.).

(2) Αἵρ. ό. 10. πρβλ. σημ. 35.

(3) Ἴδ. *Beveregius* codex canonum Ecclesiae primitivae Londoni 1764. Amstelz 1697. *Regenbrecht* Dissert. de can. Apostol. et cod. eccles. Hisp. Vratisl. 1818. *Krabbe* de codice canonum, quí Apost. dic. Gott. 1829. *Dreg* Untessuch.

(4) Καν. 1.2.9.10.13-18.21-26.36-40.42-46.47-49. 59. 61. 80. ὁ *Dreg* οὐκ ὀρθῶς ἀποφαίνεται περί τινων. S. 241.269.255.257. 273.74.242.251.271.291.300.

(5) Καν. 19.28.50.77-79.41-51.53.65.

των γίγνεται μνεία ἐν τῇ ἀρχῇ τοῦ τετάρτου, ὡς ἀρχαίων ἤδη (¹)· τινὲς δὲ φαίνονται γραφέντες ἐπὶ τῶν χριστιανῶν αὐτοκρατόρων· τοιοῦτοι ὁ λέ. περὶ Μητροπολιτῶν, οἱ λ'., λά·, πγ'., πδ'., ὡς πρὸς τὴν ἐπιδίωξιν ἐκκλησιαστικῶν ἀξιωμάτων συνεργίᾳ τῆς πολιτικῆς ἐξουσίας. Τοιοῦτοι ἐπ' ἴσης οἱ μδ'., ξ'. περὶ ἀναγνωστῶν, ψαλτῶν καὶ ὑποδιακόνων· ὁ κζ'. περὶ γάμου τῶν κληρικῶν. Τοιούτους κανόνας βεβαίως οὐ μετέδωκεν ὁ ἅγιος Κλήμης. Ἡ συλλογὴ τῶν νῦν γνωστῶν κανόνων ἀνήκει κατὰ πᾶσαν πιθανότητα εἰς ἐκεῖνον τὸν τόπον,

(¹) Γνωστόν, ὅτι οἱ καν. θ'.-ις', κθ. λβ-μα'. εἰσι πάνυ ὅμοιοι τοῖς κανόσι τῆς ἐν Ἀντιοχείᾳ συνόδου. Ἴδ. τὴν παραβολὴν παρὰ Βεβερεγγίῳ καὶ ἐν τῇ χριστιαν. Ἀναγνώσει. Ὁ Βίκκελος (Gesih. S. 80. 81) λέγει, ὅτι οἱ ἀποστολικοὶ κανόνες ἐλήφθησαν ἐκ τῶν τῆς ἐν Ἀντιοχείᾳ συνόδου, καὶ πρὸς ἀπόδειξιν παραβάλλει τὸν δ'. τῆς συνόδου ταύτης πρὸς τὸν κή. ἀποστολ., τὸν κ'. πρὸς τὸν λζ'., τὸν κέ. πρὸς τὸν μά. Ἀλλὰ τὰ παραδείγματα ταῦτα δεικνῦσι μόνον, ὅτι οἱ τελευταῖοι εἰσι συντομώτεροι τῶν πρώτων, καὶ οὐδὲν πλέον. Τοὐναντίον ὁ θ'. τῆς Ἀντιοχείας ἐστὶν ὅμοιος τῷ λέ. ἀποστολ καὶ λέγει: «κατὰ τὸν ἀρχαιότερον κρατήσαντα ἐκ τῶν Πατέρων ἡμῶν κανόνα». Ὡσαύτως Ἀντ. κά. καὶ ἀποστ. ιδ'. Ἀντ. γ'. καὶ ἀποστολ. ις'. Βασίλειος ὁ Μ. ἐν τῇ κανον. ἐπιστ. καν. γ'. παραπέμπων εἰς *ἀρχαῖον κανόνα*, ἀναφέρει τὸν κέ. ἀποστολικόν. Τῆς συλλογῆς τῶν ἀποστολ. κανόνων μνεία γίγνεται ἐν τοῖς πρακτ. τῆς ἐν Κωνσταντινουπόλει (τῷ 394) συνόδου: «καθὼς οἱ ἀποστολικοὶ κανόνες διωρίσαντο» (Mansi III. 851. ἀποστ. καν. οδ'.), τῆς ἐν Ἐφέσῳ (τῷ 431) *ἀκολουθία ἐκκλησιαστική*, *κανών*, *ἐκκλησιαστικοὶ θεσμοὶ* (Mansi IV. 1133. 1136, 1128). Ἐν τούτοις ὁ Βεβερέγγιος, καὶ μετ' αὐτὸν ἡ Χριστιαν. Ἀνάγν. οὐ προσέσχον εἰς τὸ ὅτι ἡ λέξις *κανὼν* ἔχει εὐρεῖαν καὶ διάφορον σημασίαν. Οὕτως ἐν τῇ ὑπ' αὐτῶν μνημονευομένῃ ἐπιστολῇ Ἀλεξ. τοῦ Ἀλεξανδρείας τό: *ἀποστολικὸς κανὼν* ἀναφαίρεται εἰς Τιτ. γ'. 10. Β'. Ἰωάν. 10. 11. ἐν ἄλλαις περιστάσεσιν αἱ ἐκφράσεις *ἀρχαῖος κανών*, ἢ *ἀποστολικὸς κανὼν* οὐδόλως ἀναφέρονται εἰς τὴν συλλογὴν τῶν ἀποστ. κανόνων· ἴδ. Ἀγκ. καν. κά. Νικ. ιγ'. ιέ. ιή. Γάγγρ. κά. Λαοδ. ά., καὶ τοῦτο, διότι ἡ λέξις *κανὼν ἀρχαῖος*, *ἀποστολικὸς κανὼν* ἐδήλουν ἐσθ' ὅτε καθόλου τὴν ὑπὸ τῆς ἀρχαιότητος καθιερωθεῖσαν συνήθειαν. Hier. epist. ad Lucinium XXVII. «Unaquæq. provincia praecepta majorum leges apostolicas arbitretur».

ἔνθα συνελέγησαν καὶ αἱ διαταγαί, δηλ. τὴν Συρίαν, καὶ βεβαίως εἰς ἕνα καὶ τὸν αὐτὸν χρόνον (1).

γ] Ὑπὸ τὸ ὄνομα τοῦ Ῥώμης Κλήμεντος γνωστοὶ ἔτι οἱ ἀναγνωρισμοὶ (recognitiones), ἄλλως καλούμενοι Κλήμεντος Πράξεις, ἱστορία, χρονικά· Πέτρου τοῦ Ἀποστόλου Πράξεις, Περιήγησις, Περίοδοι, Διάλογος πρὸς Ἀπίωνα καὶ γνωστοὶ νῦν ὄντες ἐν τῇ λατιν. μεταφράσει τοῦ Ρουφίνου. Τὸ σύγγραμμα τοῦτο συνεγράφη περὶ τὸ τέλος τοῦ δευτέρου ἢ τὰς ἀρχὰς τοῦ τρίτου αἰῶνος. Ἐν αὐτῷ παράγεται τεμάχιον ἐκ τοῦ διαλόγου τοῦ Βαρδησάνους, ἀκμάσαντος ἐπὶ τοῦ Μάρκου Αὐρηλίου, πρὸς τὸν ἀστρολόγον Ἀβύδαν, καὶ γίγνεται νύξις εἰς τὸ διάταγμα τοῦ αὐτοκράτορος Καρακάλλου (βασιλεύσαντος ἀπὸ τοῦ 211-217), δι' οὗ ἐδίδοτο τὸ δικαίωμα τοῦ ρωμαίου πολίτου πᾶσι τοῖς ὑπηκόοις τῆς αὐτοκρατορίας. Τοῦτο ἐγίνωσκεν ὁ Ὠριγένης (2), καὶ ἐκτὸς τοῦ Ρουφίνου ὁ Ἐπιφάνιος, ἐπαινέσαντες αὐτὸ (3), ἐνῷ ὁ Εὐσέβιος καὶ ὁ Ἱερώνυμος ἀπεφήναντο περὶ αὐτοῦ οὐκ εὐνοϊκῶς (4). Διὰ τὴν ἀρχαιό-

(1) Τοῦτο ὑπεμφαίνει ἡ χρῆσις τῆς συριακῆς ὀνομασίας τῶν μηνῶν, ἐν καν. λζ'., ἡ χρῆσις ἐπ' ἴσης αὐτῶν ἐν ταῖς ἀνατολ. ἐκκλησίαις, ἔνθα ἦσαν γνωστοὶ ἐν τῇ συρ., ἀραβ., καὶ αἰθιοπ. μεταφρ. ἴδ. Bickel S. 107-108. 200-212. Περί τινων διαφορῶν τῶν καν. ἐν τοῖς χειρογρ. ἴδ. *Dreg* S. 415. f. Bickel S. 72. ἴδ. καὶ Διονυσίου τοῦ μικροῦ ἀκμάσαντος τῷ 533 apist. ad Stephan., ἔνθα λέγει: «in principio canones, qui dicuntur Apostolorum, de græco transtulimus, quibus plurimi consensum non praebuere facilem». Χρονολ. κώδ. τοῦ ζ'. αἰῶν. (Wôell 2. 790)· κατατάσσομεν καὶ τοὺς οὕτω καλουμένους κανόνας τῶν Ἀποστόλων, *εἰ καί τινες αὐτοὺς ἀμφιβόλους διά τινας αἰτίας ἡγήσαντο.*

(2) Τ. 3. ὑπόμν. εἰς τὴν Γεν. Φιλοκαλ. κεφ. 22. «Καὶ Κλήμης δὲ ὁ Ρωμαῖος, Πέτρου Ἀποστόλου μαθητής, συνῳδὰ τούτοις ἐν τῷ παρόντι προβλήματι, πρὸς τὸν Πατέρα, ἐν Λαοδικείᾳ εἰπὼν ἐν ταῖς *Περιόδοις*, ἀναγκαιότατόν τι ἐπὶ τέλει τῶν τοιούτων λόγων φησί, περὶ τῶν τῆς γενέσεως δοκούντων ἐμβεβηκέναι, λόγῳ τεσσαρεσκαιδεκάτῳ *Καὶ ὁ Πατὴρ κτλ.*» ἴδ. ὑπόμν. εἰς Ματθ. 26. 6. κτλ.

(3) Αἵρ. λ'. Rafin. praef. in libr. Recognit.

(4) Hieron. in Catal. Script. Εὐσέβ. γ'. 3. 38.

τητα αὐτοῦ αἱ διηγήσεις περὶ τῶν συμβάντων τῷ Κλήμεντι καὶ τοῖς συγγενέσιν αὐτοῦ οὐ στεροῦνται πιθανότητος. Ἐν τῇ ἑλληνικῇ γλώσσῃ γνωστὴ ἡ ἐπιτομὴ τῶν πράξεων τοῦ Κλήμεντος, ἢ ἐκλογὴ τῆς ἱστορίας τοῦ Κλήμεντος ἐκ τῆς περιηγήσεως αὐτοῦ, ἄλλως ὁμιλίαι καλουμένη· ἀλλ᾽ ἐνταῦθα ἀπαντῶσι πολλῷ πλείονες μὴ ὀρθόδοξοι ἔννοιαι, ἢ ἐν τῇ περιηγήσει ([1]).

Τέλος δ] πέντε ἐπιστολαὶ πάντῃ ἀνάξιαι τοῦ καλάμου τοῦ Κλήμεντος ([2]).

§ 19. *Ὁ ἅγιος Ἰγνάτιος ὁ Θεοφόρος.*

Ἰγνάτιος ὁ Θεοφόρος, κατὰ τὸν θεῖον Χρυσόστομον, «συνεγένετο τοῖς Ἀποστόλοις γνησίως, καὶ τῶν πνευματικῶν ναμάτων ἀπήλαυσε» ([3]), μαθητὴς χρηματίσας τοῦ Ἀποστόλου Ἰωάννου ([4])

([1]) Ἐν τῷ συγγράμματι τούτῳ ὁ Ἀπόστολος Πέτρος χρῆται λέξεσι τοῦ Πλάτωνος καὶ τοῦ Ἀριστοτέλους. Ἡ σχέσις τοῦ Θεοῦ Πατρὸς πρὸς τὸν Υἱὸν ἐκτίθεται ἐν αὐτῷ οὐ συνῳδὰ τῇ ἁγίᾳ Γραφῇ. Ἔν τινι χωρίῳ (ὁμιλ. ις΄. κεφ. 12) ἡ Σοφία (Σοφ. ή. 22) παρίσταται ὡς ἀπόρροια τοῦ Θεοῦ, καὶ μετὰ τῆς Σοφίας ὡς ψυχῆς ἑνοῦται ὁ Χριστός· ἐν ἄλλῳ τὸ ὁμοούσιον τοῦ Υἱοῦ πρὸς τὸν Πατέρα ἐκτίθεται οὕτως ὡς ὁμοιότης τῆς ἀνθρωπίνης ψυχῆς τῇ Θεότητι, ὡς προελθούσης ἐκ τοῦ Θεοῦ (ὁμιλ. ις΄. 15-17). Ἀπορρίπτεται δ᾽ ἡ αἰωνιότης τῶν κολάσεων (ὁμιλ. γ΄. 6.), καὶ ὁ Μωϋσῆς λέγεται ἴσος τῷ Ἰησοῦ Χριστῷ (ὁμιλ. ή. 5-8).

([2]) Ἐν τῇ πρώτῃ τούτων ὁ Κλήμης γράφει περὶ τοῦ θανάτου τοῦ Ἀποστόλου Πέτρου πρὸς τὸν Ἀπόστολον Ἰάκωβον, ἀποθανόντα βεβαιότατα πρὸ αὐτοῦ ἐν Ἱεροσολύμοις, περὶ τὸ ξγ΄. σωτήριον ἔτος. Ἐν τῇ δευτέρᾳ ὁ Κλήμης δίδωσι τῷ αὐτῷ Ἰακώβῳ διδασκαλίας περὶ μυστηρίων καὶ περὶ ἱερῶν ἀμφίων. Δεινὴ ἀμάθεια! Ἐν τῇ τετάρτῃ πρὸς Ἰούλιον καὶ Ἰουλιανὸν ἐπιτάσσονται αἱ διὰ τῆς λούσεως ἰουδαϊκαὶ καθάρσεις, ὧν ἄνευ, λέγει, ἀδύνατος ἡ τῆς καρδίας καθαρότης. Δεινὴ δεισιδαιμονία! Πάντα τὰ νόθα συγγράμματα τοῦ Κλήμεντος ἐξεδόθησαν ὑπὸ τοῦ Κοτελερίου καὶ τοῦ Γαλλανδίου.

([3]) Χρυσόστ. ἐν τῇ μϐ΄. ὁμιλ. εἰς τὸν ἅγιον Ἰγνάτιον Τ.2.σελ.592.

([4]) Τὸ μαρτύριον τοῦ ἁγίου Ἰγνατίου συνεγράφη ὑπὸ αὐτοπτῶν (§ 5, 6, 7)· περὶ τῆς ἐκδόσεως αὐτοῦ ἴδ. ἐπιθεώρ. τοῦ ἀποστολ. αἰῶνος, σημ. 14. Chron. Eusebii ex versione Hieron. ad an 11. Trajani.

καὶ ἀκροατὴς τοῦ Πέτρου (¹), μετὰ δὲ τὸν Εὐόδιον ἐπίσκοπος Ἀντιοχείας ὑπὸ τῶν Ἀποστόλων κατασταθείς (²).

Κατὰ τὸ διάστημα τῆς τεσσαρακονταετοῦς ὑπ' αὐτοῦ διοικήσεως τῆς ἐκκλησίας ἦν, κατὰ τὸν Χρυσόστομον, πρότυπον τῶν ἀρετῶν. Ἐν τῷ διωγμῷ τοῦ Δομιτιανοῦ, ὡς γράφουσιν οἱ μαθηταὶ αὐτοῦ: «καθάπερ κυβερνήτης ἀγαθός, τῷ οἴακι τῆς προσευχῆς καὶ τῆς νηστείας, καὶ τῇ συνεχείᾳ τῆς διδασκαλίας, τῷ τόνῳ τῷ πνευματικῷ, πρὸς τὴν ζάλην τὴν ἀντικειμένην ἀντεῖχε· δεδοικὼς μή τινα τῶν ὀλιγοψύχων, ἢ ἀκεραιοτέρων ἀποβάλῃ. . . λύχνου δίκην Θεϊκοῦ τὴν ἑκάστου φωτίζων διάνοιαν διὰ τῆς τῶν Θείων Γραφῶν ἐξηγήσεως, ἐπετύγχανε τῶν κατ' εὐχήν». Ὁ Σωκράτης λέγει (ἐκκλ. ἱστ. ϛ'. 24), ὅτι ὁ ἅγιος Ἰγνάτιος: «ὀπτασίαν εἶδεν ἀγγέλων διὰ τῶν ἀντιφώνων ὕμνων τὴν ἁγίαν Τριάδα ὑμνούντων, καὶ τὸν τρόπον τοῦ ὁράματος τῇ ἐν Ἀντιοχείᾳ ἐκκλησίᾳ παρέδωκεν· ὅθεν καὶ ἐν πάσαις ταῖς ἐκκλησίαις αὕτη ἡ παράδοσις διεδόθη».

Ἡ ψυχὴ αὐτοῦ ἦν ὅλως παραδεδομένη τῷ Κυρίῳ Ἰησοῦ· ἔφερεν Αὐτόν, ὡς λέγει, ἐν τῇ καρδίᾳ αὐτοῦ· ἐλυπεῖτο δὲ «ὡς μήπω τῆς ὄντως εἰς Χριστὸν ἀγάπης ἐφαψάμενος, μηδὲ τῆς τελείας τοῦ μαθητοῦ τάξεως. Ἐνενόει γὰρ τὴν διὰ μαρτυρίου γινομένην ὁμολο-

(¹) Γρηγόρ. ὁ Διάλ. ἐπ. 38. ad Anastasium Antiochenum.

(²). Ὁ Ὠριγένης καλεῖ αὐτὸν δεύτερον μετὰ τὸν μακάριον Πέτρον τῆς Ἀντιοχείας ἐπίσκοπον (ὁμιλ. ϛ'. εἰς Λουκ. σελ. 938)· ὁ Εὐσέβιος (γ'. 32) γράφει: «Ἀλλὰ καὶ τῶν ἐπ' Ἀντιοχείας Εὐοδίου πρώτου καταστάντος, δεύτερος ἐν τοῖς δηλουμένοις Ἰγνάτιος ἐγνωρίζετο.» Ἐν ταῖς ἀποστολ. διαταγαῖς (ζ'. 46) εἴρηται, ὅτι ὁ Εὐόδιος καὶ ὁ Ἰγνάτιος ἐκυβέρνουν τὴν ἐκκλησίαν κατὰ τὸν αὐτὸν χρόνον, ὁ μὲν χειροτονηθεὶς ὑπὸ τοῦ Πέτρου, ὁ δὲ ὑπὸ τοῦ Παύλου. Ὁ Χρυσόστομος [αὐτόθι] λέγει, ὅτι ὁ Ἰγνάτιος ἐχειροτονήθη ἐπίσκοπος ὑπὸ τοῦ Πέτρου, κατὰ δὲ τὸν Θεοδώρητον (ἐν Διαλ. ά. σελ. 49. Τ. 4.) διεδέξατο τὸν Ἀπόστολον Πέτρον. Κατὰ τὸν Βαρόνιον (aun. 45, 14 et 71, 11), καὶ τὸν Νατάλιν Ἀλέξανδρον (saec. 1 diss. 14, prop. 1), ὁ Ἰγνάτιος καὶ ὁ Εὐόδιος ἐποίμαινον ἐν τῷ αὐτῷ χρόνῳ, ὁ μὲν τὴν ἐκκλησίαν τὴν ἀπὸ τῶν ἐθνικῶν εἰς τὴν χριστιανικὴν πίστιν ἐπιστρεφομένην, ὁ δὲ τὴν τῶν ἐξ Ἰουδαίων χριστιανῶν, καὶ ὅτι ὁ Ἰγνάτιος παρεχώρησε πρὸς καιρὸν τῷ Εὐοδίῳ τὴν ποιμαντορίαν, μετ' αὐτὸν δὲ ἐποίμαινε μόνος.

γίαν πλεῖον αὐτὸν προσοικειοῦσαν τῷ Κυρίῳ». Τέλος ἤγγικεν ἡ ὥρα τοῦ πληρῶσαι τὸν πόθον τῆς ἁγίας ἀγάπης.

Ὁ αὐτοκράτωρ Τραϊανὸς ἐν τῇ ἐθνικῇ τυφλώσει ἀποδοὺς τὰς κατὰ Σκυθῶν καὶ Δακῶν λαμπρὰς αὐτοῦ νίκας τοῖς τυφλοῖς τῶν ἐθνικῶν θεοῖς, ἐνόμισε τὸν κατὰ χριστιανῶν εἴτουν εὐσεβείας πόλεμον κράτιστον αὐτῷ καὶ λυσιτελῆ. Οὕτω δὴ ἐξέδοτο διατάγματα ἀνὰ πᾶσαν τὴν ὑπήκοον «ὥστε ἢ πάντας αὐτῷ κοινωνοὺς εἶναι τῆς ἀσεβείας, ἢ χριστιανοὺς ἔτι μένοντας τιμωρίαις ποικίλαις καὶ θανάτοις χαλεποῖς ἐκδίδοσθαι». Ἐπεδήμει δὲ τότε τῇ Ἀντιοχέων, ἅτε δὴ μέλλων κατὰ τῶν Πάρθων καὶ Ἀρμενίων ἐκστρατεύειν καὶ παρασκευαζόμενος ἐν τῇ πόλει ταύτῃ τὰ τοῦ πολέμου. Ἐνταῦθα μεταπεμψάμενος τὸν Ἰγνάτιον, εἶπεν αὐτῷ: «Τίς εἶ, κακόδαιμον, τὰς ἡμετέρας σπουδάζων διατάξεις ὑπερβαίνειν, μετὰ τοῦ καὶ ἑτέρους ἀναπείθειν, ἵνα κακῶς ἀπόλωνται;» Ὁ Ἰγνάτιος εἶπε: «Οὐδεὶς Θεοφόρον ἀποκαλεῖ κακοδαίμονα· ἀφεστήκασι γὰρ ἀπὸ τῶν δούλων τοῦ Θεοῦ τὰ δαιμόνια. Εἰ δὲ ὅτι τούτοις ἐπαχθής εἰμι, καὶ κακόν με πρὸς τοὺς δαίμονας ἀποκαλεῖς, συνομολογῶ. Χριστὸν γὰρ ἔχων ἐπουράνιον βασιλέα, τὰς τούτων καταλύω ἐπιβουλάς». Τραϊανὸς εἶπε: «Καὶ τίς ἐστι Θεοφόρος;» Ἰγνάτιος ἀπεκρίνατο. «Ὁ Χριστὸν ἔχων ἐν στέρνοις.» Τραϊανὸς εἶπεν: «Ἡμεῖς οὖν σοὶ δοκοῦμεν κατὰ νοῦν μὴ ἔχειν θεούς, οἷς καὶ χρώμεθα συμμάχοις πρὸς τοὺς πολεμίους;» Ἰγνάτιος εἶπε· «τὰ δαιμόνια τῶν ἐθνῶν θεοὺς προσαγορεύεις πλανώμενος· εἷς γάρ ἐστι Θεός, ὁ ποιήσας τὸν οὐρανὸν καὶ τὴν γῆν καὶ τὴν θάλασσαν, καὶ πάντα τὰ ἐν αὐτοῖς. Καὶ εἷς Χριστὸς Ἰησοῦς, ὁ Υἱὸς τοῦ Θεοῦ ὁ μονογενής, οὗ τῆς βασιλείας ὀναίμην!» Τραϊανὸς εἶπε· «τὸν σταυρωθέντα λέγεις ἐπὶ Ποντίου Πιλάτου;» Ἰγνάτιος εἶπε· «τὸν ἀνασταυρώσαντα τὴν ἐμὴν ἁμαρτίαν μετὰ τοῦ ταύτης εὑρετοῦ, καὶ πᾶσαν καταδικάσαντα δαιμονικὴν πλάνην καὶ κακίαν ὑπὸ τοὺς πόδας τῶν αὐτὸν ἐν καρδίᾳ φορούντων.» Τραϊανὸς εἶπε: «Σὺ οὖν ἐν ἑαυτῷ φέρεις τὸν σταυρωθέντα;» Ἰγνάτιος εἶπε: «Ναί, γέγραπται γάρ· ἐνοικήσω ἐν αὐτοῖς, καὶ ἐμπεριπατήσω.» Ὁ Τραϊανὸς προσετάξατο ἀγαγεῖν τὸν Ἰγνάτιον εἰς Ρώμην βρῶμα γενησόμενον θηρίων εἰς τέρψιν τοῦ δήμου. Ἀκούσας ὁ Θεοφόρος τῆς ἀποφάσεως ταύτης, ἀνέκραξε μετὰ χαρᾶς:

«Εὐχαριστῶ σοι Δέποστα, ὅτι με τελείᾳ τῇ πρός σε ἀγάπῃ τιμῆσαι κατηξίωσας, τῷ Ἀποστόλῳ σου Παύλῳ δεσμοῖς συνδήσας σιδηροῖς»(1).

Κατὰ τὴν εἰς Ῥώμην ὁδὸν τοῦ Ἰγνατίου οἱ ἐπίσκοποι καὶ οἱ πρεσβύτεροι συνέρρεον κατασπασόμενοι τὸν ὁμολογητήν—τὸν μαθητὴν τῶν Ἀποστόλων, παραινοῦντα ἀποφεύγειν πρὸ πάντων τοὺς αἱρετικούς (2). Προβλέπων, ὅτι ἐν Ῥώμῃ οἱ πιστοὶ τοῦ Χριστοῦ ἐπιχειρήσουσιν ἀπαλλάξαι αὐτὸν τοῦ σκληροῦ μαρτυρικοῦ θανάτου, ἔπεμψεν εἰς Ῥώμην ἐπιστολὴν πλήρη ἐκφράσεων θερμῆς πρὸς τὸν Κύριον ἀγάπης, ποθούσης ἓν μόνον—παθεῖν ὑπὲρ τοῦ ὀνόματος Αὐτοῦ. «Φοβοῦμαι τὴν ὑμῶν ἀγάπην, μὴ αὐτὴ με ἀδικήσῃ. Ὑμῖν γὰρ εὐχερές ἐστι ποιῆσαι, ὃ θέλετε· ἐμοὶ δὲ δύσκολόν ἐστι τοῦ Θεοῦ ἐπιτυχεῖν, ἐάνπερ ὑμεῖς φείσησθέ μου . . . Παρακαλῶ ὑμᾶς μὴ εὔνοια ἄκαιρος γένησθέ μοι. Ἄφετέ με θηρίων εἶναι βοράν, δι᾽ ὧν ἔνεστι Θεοῦ ἐπιτυχεῖν. Σῖτός εἰμι Θεοῦ, καὶ δι᾽ ὀδόντων θηρίων ἀλήθομαι, ἵνα καθαρὸς ἄρτος εὑρεθῶ τοῦ Χριστοῦ. Ὁ ἐμὸς ἔρως ἐσταύρωται· καὶ οὐκ ἔστιν ἐν ἐμοὶ πῦρ φιλόϋλον· ὕδωρ δὲ μᾶλλον ζῶν καὶ λαλοῦν ἐν ἐμοί, ἔσωθέν μοι λέγον: Δεῦρο πρὸς τὸν Πατέρα. Οὐχ ἥδομαι τροφῇ φθορᾶς, οὐδὲ ἡδοναῖς τοῦ βίου τούτου......».

Τὴν ἐπιστολὴν ταύτην ἔγραψεν ἐκ Σμύρνης, καὶ ἐντεῦθεν ὡσαύτως ἔγραψε πρὸς Ἐφεσίους, πρὸς Μαγνησίους καὶ πρὸς Τραλλησίους. Διαμένων ἐν Τροίᾳ ἐπέστειλε τοῖς Φιλαδελφεῦσι, τοῖς Σμυρναίοις, καὶ τῷ ἁγίῳ Πολυκάρπῳ.

---

(1) Ἐκτὸς τῶν περὶ τοῦ μαρτυρίου σημειώσεων ἰδ. Εἰρην. κατὰ αἱρέσ. έ. 28. παρ' Εὐσεβ. ἐκκλησ. ἱστορ. γ'. 16.

(2) Εὐσέβ. ἐκκλ. ἱστορ. γ'. 36. «Λόγος δὲ ἔχει τοῦτον ἀπὸ Συρίας ἐπὶ τὴν Ῥωμαίων πόλιν ἀναπεμφθέντα θηρίων γενέσθαι βορὰν τῆς εἰς Χριστὸν μαρτυρίας ἕνεκεν. Καὶ δὴ τὴν δι' Ἀσίας ἀνακομιδὴν μετ' ἐπιμελεστάτης φρουρῶν φυλακῆς ποιούμενος, τὰς κατὰ πόλιν, αἷς ἐπεδήμει, παροικίας, ταῖς διὰ λόγων ὁμιλίαις τε καὶ προτροπαῖς ἐπιρρωνύς, ἐν πρώτοις μάλιστα προφυλάττεσθαι τὰς αἱρέσεις ἄρτι τότε πρῶτον ἐπιπολαζούσας παρῄνει, προὔτρεπέ τε ἀπρὶξ ἔχεσθαι τῆς τῶν Ἀποστόλων παραδόσεως, ἣν ὑπὲρ ἀσφαλείας καὶ ἐγγράφως ἤδη μαρτυρόμενος διατυποῦσθαι ἀναγκαῖον ἡγεῖτο».

Μετὰ ἐπίπονον ὁδοιπορίαν «δεδεμένος δέκα λεοπάρδοις» (1) ἀγρίοις στρατιώταις, ἀφίκετο εἰς Ῥώμην, ἔνθα ἐπληρώθη ἡ ἁγία αὐτοῦ ἐπιθυμία· τὰ πειναλέα θηρία τοῦ ἱπποδρόμου διεσπάσαντο αὐτὸν καὶ κατέφαγον (2)· περιελείφθησαν μόνον τὰ τραχύτερα τῶν ἁγίων αὐτοῦ

(1) Ἐπιστ. πρὸς Ρωμ. § 5. Ὁ Βάουρ ἐκ τοῦ ὅτι ὁ ἅγ. Ἰγνάτιος, εὑρισκόμενος ἐν ταῖς χερσὶ τῶν στρατιωτῶν, ἔγραψεν ἐπιστολάς, καὶ ἐκ τοῦ ὅτι ἐκ Σμύρνης ἔγραψεν εἰς Ῥώμην, ἔνθα ἐλήφθη ἡ ἐπιστολὴ πρὸ αὐτοῦ, ἐξέφρασεν ἀμφιβολίας περὶ τῆς εἰς Ῥώμην μεταβάσεως τοῦ Ἰγνατίου (Tübing. Zeitschrift f. Theslogie 1836 T. 3. 1839 T.3). Ἀλλὰ καὶ παραβλέποντες τὰς μαρτυρίας τοῦ Εἰρηναίου, τοῦ Εὐσεβίου, καὶ ἄλλων, γινώσκομεν ὅμως, ὅτι οἱ Ῥωμαῖοι οὐκ ἐκώλυον τοὺς δεσμίους ὁρᾶν τοὺς ἑαυτῶν φίλους καὶ συγγενεῖς. (Πρ. κή. 16. λ΄. 31.) Ἐκ Σμύρνης εἰς Ῥώμην ἦσαν δύο ὁδοί, ἡ μὲν κατὰ θάλασσαν, ἡ δὲ κατὰ γῆν. (Tafel de via ignatiana 1837. 18, 41.) Ὁ Ἰγνάτιος ἀνεχώρησε κατὰ γῆν διὰ Τροίας καὶ Μακεδονίας, ἀναμφιβόλως κατὰ τὴν ἐπιθυμίαν τῶν στρατιωτῶν· ἡ δ' ἐπιστολὴ ἀπεστάλη διὰ θαλάσσης. Ἐὰν ὑποθῶμεν, ὅτι ἐστάλη διὰ ξηρᾶς, καὶ τότε ἠδύνατο ἀφικέσθαι τάχιον εἰς Ῥώμην, ἢ ὁ Ἰγνάτιος, χρονοτριβήσας πρὸς ἐπίσκεψιν τῶν ἐκκλησιῶν.

(2) Ἐκτὸς τῶν περὶ τοῦ μαρτυρ. σημειώσ. ἴδ. Ὠριγ. ὁμιλ. ς΄. εἰς Λουκ. Χρυσόστ. ὁμιλ. εἰς τὸν ἅγ. Ἰγνάτιον τὸν μάρτυρα, § 5 ex edit. BB. Paris. 1718, tom. II. «Ἐν μέσῳ τῷ θεάτρῳ, τῆς πόλεως ἄνω καθεζομένης ἁπάσης, τὸν τοῦ μαρτυρίου τρόπον ὑπέμεινε, θηρίων ἐπ' αὐτὸν ἀφεθέντων, ἵν' ὑπὸ ταῖς ἁπάντων ὄψεσι τὸ τρόπαιον στήσας κατὰ τοῦ διαβόλου, τοὺς θεατὰς ἅπαντας ζηλωτὰς ποιήσῃ τῶν ἀγωνισμάτων τῶν ἑαυτοῦ, οὐκ ἀποθνήσκων μόνον οὕτω γενναίως, ἀλλὰ καὶ μεθ' ἡδονῆς ἀποθνήσκων. Οὐ γὰρ ὡς ζωῆς ἀπορρήγνυσθαι μέλλων, ἀλλ' ὡς ἐπὶ ζωὴν καλούμενος βελτίω καὶ πνευματικωτέραν, οὕτως ἀσμένως ἑώρα τὰ θηρία. Πόθεν τοῦτο δῆλον; ἀπὸ τῶν ῥημάτων, ὧν ἀποθνήσκειν μέλλων ἐφθέγξατο. Ἀκούσας γὰρ ὅτι οὗτος αὐτὸν τῆς τιμωρίας ὁ τρόπος μένει : *Ἐγὼ τῶν θηρίων ἐκείνων ὀναίμην*, ἔλεγε. Τοιοῦτοι γὰρ οἱ ἐρῶντες· ὅπερ ἂν πάσχωσιν ὑπὲρ τῶν ἐρωμένων, μεθ' ἡδονῆς δέχονται, καὶ τότε δοκοῦσιν ἐμφορεῖσθαι τῆς ἐπιθυμίας, ὅταν πολλῷ χαλεπώτερα ᾖ τὰ γινόμενα· ὅπερ οὖν καὶ ἐπὶ τούτου συνέβαινεν. Οὐ γὰρ τῷ θανάτῳ μόνον, ἀλλὰ καὶ τῇ προθυμίᾳ ζηλῶσαι τοὺς Ἀποστόλους ἔσπευδεν· καὶ ἀκούων, ὅτι μαστιχθέντες ἐκεῖνοι μετὰ χαρᾶς ἀνεχώρουν, ἐβουλήθη καὶ αὐτὸς μὴ τῇ τελευτῇ μόνον, ἀλλὰ καὶ τῇ χαρᾷ μιμήσασθαι τοὺς διδασκάλους· διὰ τοῦτο, *τῶν θηρίων*, ἔλεγεν, *ὀναίμην*».